ΔΙΟΡΘΩΤΙΚΑ

ΕΙΣ ΤΑ

ΤΟΥ ΚΛΗΜΕΝΤΟΣ ΤΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ

(*ΜΕΡΟΣ ΤΡΙΤΟΝ*).

Πολλὰς μὲν καὶ καλὰς τῶν ἐνδοξοτάτων ποιητῶν ῥήσεις ἡμῖν ὁ βέλτιστος Κλήμης διέσωσεν ἀσειότατα τοῖς θεολογουμένοις ἑκάστοτε ταῦτα οἷον ἡδύσματα τοῦ λόγου ἐγκαταστείρας. Πολλὰ δὲ τῶν τοιούτων κακῶς ἡμῖν διέθεσαν καὶ πάντα τρόπον διέφθειραν ἀντιγραφέων παῖδες ἀμαθεῖς καὶ ἄμουσοι ἐπὶ τοσοῦτον ὥσε καὶ ἐκ τῆς Πιερίας ἡμῖν, ὡς ἐν τοῖς ἑξῆς δείξομεν, περιεργίας ἀναπλάττειν. Δοκεῖ μοι νῦν τῶν τοιούτων ἕνια οἷόν τινα ἄνθη ἐκ τῶν τοῦ Κλήμεντος ἀναλέξαι. Ἀρξώμεθα οὖν ἀπὸ τῶν σελ. 185 γραφομένων οὕτως: »ἐντεῦθεν καὶ ἡ ποιητικὴ ὠφελημένη λέγει·

Οἴνός θ', ὃς πυρὶ ἶσον ἔχει μένος, εὖτ' ἂν ἐς ἄνδρας
ἔλθῃ, κυμαίνει δ' οἷα Λίβυσσαν ἄλα
Βορρῆς ἠὲ Νότος,

τὰ δὲ καὶ κεκρυμμένα πάντα φαίνει,

ἀμαρτοεπὴς οἶνος, μεθύουσιν ἔλιτθος,
οἶνος ψυχαπάτης,

καὶ τὰ ἑξῆς." Γνώριμον ἦν τότε πᾶσιν, ὡς ἔοικε, τὸ ποίημα ὅθεν οἱ στίχοι οὗτοι. Οὔτε γὰρ τοῦ ποιήσαντος τοὔνομα ὁ Κλήμης εἶπεν ἅτε δὴ πᾶσι δήλου ὄντος καὶ ἀντὶ τῶν τελευταίων ἠρκέσθη λέγειν »καὶ τὰ ἑξῆς" ὡς τῶν στίχων ἐν μέσῳ κειμένων. Καὶ τὰ μὲν πρῶτα τίς ἀγνοεῖ τοῦ Ἐρατοσθένους ὄντα, ὡς ὅ τε Δειπνοσοφιστὴς δηλοῖ (σελ. 36) καὶ ὁ Στοβαῖος (Ἀνθολ. III. 3) καὶ κριτικός τις παρ' Ἡσυχίῳ ἐξηγούμενος τὸ Αἰσχύλου ἰαμβεῖον

Ναρθηκοπλήρωτον δὲ θηρῶμαι πυρὸς
πηγήν.

ἔσι δὲ, οἶμαι, καὶ τὰ λοιπὰ τοῦ Ἐρατοσθένους καὶ μία ἦν καὶ μόνη ῥῆσις, ἐξ ἧς μέσης μεταξὺ τοῦ Φαίνει καὶ ἀμαρτοεπὴς ἠφανίσθη ὀλίγ' ἄττα, ὧν μέρος παρά τε τῷ Ἀθηναίῳ καὶ τῷ Στοβαίῳ διεσώθη. Ἐγὼ δὲ τούτοις ἓν μόνον ἔνομα προσθεὶς ὁλόκληρόν σοι καὶ ὑγιᾶ τὴν τοῦ Ἐρατοσθένους ῥῆσιν παραστήσω ἔχουσαν οὕτως·

» Οἶνός τοι πυρὶ ἶσον ἔχει μένος, εὖτ' ἂν ἐς ἄνδρας
ἔλθῃ, κυμαίνει δ' οἷα Λίβυσσαν ἄλα
Βορρῆς ἠὲ Νότος, τὰ δὲ καὶ κεκρυμμένα φαίνει
βυσσόθεν, ἔκ τ' ἀνδρῶν πάντ' ἐτίναξε νόον.
(οἶνος) ἀμαρτοεπὴς, οἶνος μεθύουσιν ὄλισθος,
οἶνος ψυχαπάτης,

καὶ τὰ ἑξῆς." τῶν δ' ἀναπληρωθέντων τὰ μὲν
(Βυσσόθεν ἔκ τ' ἀνδρῶν πάντ' ἐτίναξε νόον)
ὁ Ἀθήναιος καὶ ὁ Στοβαῖος ἡμῖν διεφύλαξαν, τὸ δὲ (οἶνος) αὐτὸς ἀπ' ἐμαυτοῦ προσέθηκα.

Ἐνιαχοῦ τὰ τῶν ποιητῶν οὕτω τοῖς τοῦ Κλήμεντος ἀναμέμικται ὥστε τοὺς ἀναγιγνώσκοντας διαλαθεῖν, οἷον σελ. 211 ἐν τούτοις: »Τοιαύτη δὲ καὶ τῶν στεφάνων ἡ χρῆσις κωμαστικὴ καὶ πάροινος ἄπερρε· μή μοι στέφανον ἀμφιθῇς κάρᾳ."

Οὐκ ἀκούεις τραγικοῦ ᾄδοντος·

"Απερρε. μή μοι στέφανον ἀμφιθῇς κάρᾳ;

Οἶδα μὲν ὅτι σφόδρα περὶ τὰ τοιαῦτα εὐλαβητέον, ἐπειδὴ πολλὰ πολλάκις κατὰ τύχην πως μετρικά ἐσιν, ἀλλ' ὅπου ἂν τό τε μέτρον καὶ ἡ λέξις ὀγκηρὰ καὶ ποιητικὴ οὖσα συνδράμωσιν, ὥσπερ ἐνταῦθα, οὐκ ἂν ἁμάρτοις. Τίς δ' ἂν εἴποι ἀμφιθῇς, τίς κάρᾳ μὴ τραγικὸς ὤν; Οὐδεὶς δήπου. Ὁ γὰρ τῶν Ἀθηναίων δῆμος περιθεῖναι καὶ περιθέσθαι στέφανον ἔλεγεν, οἱ δὲ μεταγενέσεροι κακῶς ἐπιθεῖναι καὶ ἐπιθέσθαι, τὸ δὲ ἀμφιθεῖναι θεοῖς μόνον καὶ ἥρωσιν ἁρμόζει.

Ὅπου δ' ἂν ἡ λέξις ποιητικὸν οὐδὲν τοπαράπαν ἐμφαίνῃ, ὑπό τι γελοῖόν ἐσιν ὑπονοῆσαι τὰ κατὰ τύχην μετρικὰ ὄντα ποιητοῦ τινὸς εἶναι λανθάνοντος. Οἷόν ἐσι τὸ σελ. 244 ὑπὸ τοῦ Κλοτζίου οὕτω γεγραμμένον: »δεσμὰ ἑαυταῖς περιθεῖσαι πλούσια μυρία, καθάπερ καὶ

παρὰ τοῖς βαρβάροις
Φασὶν δεδέσθαι τοὺς κακούργους χρυσίῳ."

Μὴ ἀφελώμεθα τὸν Κλήμεντα τὰ αὐτοῦ, οὐδὲν γὰρ τούτων πεζότερον κἂν τύχῃ ἰαμβικόν τι ὑποφθεγγόμενα. Πολλὰ πολλοῖς ἐκπίπτει τῶν τοιούτων, ὡς καὶ τῷ Κλήμεντι σελ. 40:

»ἐμοὶ μὲν οὐδ' ὁ πᾶς ἂν ἀρκέσαι χρόνος."

οὐ γὰρ μόνον ἰαμβικὸς ὁ στίχος ἐστὶν ἀλλὰ καὶ καθαρὸς ἐκ πάντων ἰάμβων συγκείμενος. Ὅμως γε μὴν οὐδὲ τούτων οὐδέν ἐστι πεζότερον καὶ ποιητικῆς χάριτος καὶ κομψότητος μᾶλλον ἄμοιρον.

Οὐ πολὺ φροντίζων τῶν Σιβυλλείων ἐπῶν μοχθηροτάτων ὡς ἐπὶ τὸ πλεῖστον ὄντων ὅμως βοηθήσω τῇ Σιβύλλῃ σελ. 229 οὕτω λεγούσῃ·

οὐδὲ ἐπ' ἄρρενος ὕβριν ἀπεχθέα τε συγερήν τε
ὁρμωμένους.

σὺ δὲ ἀντὶ τοῦ ὁρμωμένους, ὅπερ τῷ μέτρῳ πολεμεῖ, ἀνάγνωθι ὁρνυμένους.

Διδάσκων ὁ Κλήμης σελ. 329 ὅτι οἱ πάλαι Ἕλληνες τοὺς περὶ ὁτιοῦν πολυπράγμονας σοφοὺς ἅμα καὶ σοφιστὰς ἐκάλουν μάρτυρα παρέχεται πρῶτον μὲν τὸν Κρατῖνον ἐν Ἀρχιλόχοις, εἶτα δὲ τὸν τοῦ Σοφοκλέους Ἰοφῶντα διὰ τούτων: »Ἰοφῶν τε ὁμοίως ὁ κωμικὸς ἐν Αὐλῳδοῖς σατύροις ἐπὶ ῥαψῳδῶν καὶ ἄλλων τινῶν λέγει·

καὶ γὰρ εἰσελήλυθεν
πολλῶν σοφιστῶν ὄχλος ἐξηρτημένος."

Ὅτι τὰ τελευταῖα παρέφθαρται δῆλον. Οὐκοῦν ὁ Μεινέκιος ἀντὶ τοῦ ἐξηρτημένος ᾤετο δεῖν γράφειν ἐξηρτυμένος, ὅπερ ὁ Ναύκιος ἐν τοῖς τῶν Τραγικῶν ἀποσπάσμ. σελ. 590 ἐπιδοκιμάσας παρέλαβε.

Φιλεῖ μέν πως τὸ τῶν ἀντιγραφέων ἔθνος τὸ ἐξηρτυμένος καὶ ἐξηρτῦσθαι εἰς τὸ γνωριμώτερόν σφισιν ἐξηρτημένος καὶ ἐξηρτῆσθαι μετατυποῦν, ὡς ἐν τῷ τοῦ Στεφάνου Θησαυρῷ διὰ πολλῶν δέδεικται, ἀλλὰ νῦν μὲν οὐδὲν ἥμαρτον. ἐξηρτυμένος γὰρ ἰσοδυναμοῦν τῷ παρεσκευασμένος ἐνταῦθα ἀνάρμοσον, βέλτιον δὲ μεταγράψεις·

πολλῶν σοφιστῶν ὄχλον ἐξηρτημένος.

Εἰσῆλθε γὰρ οἶμαι ὡς ἐν σατυρικῷ δράματι αὐτὸς ὁ Διόνυσος πλείστους, ὡς εἰκός, σοφιστὰς περὶ ἑαυτὸν ἔχων δορυφοροῦντας καὶ αὐτοῦ ἐκκρεμαμένους. Τοῦτο γὰρ δύναται τὸ ὄχλον ἐξηρτημένος, ὡς παρὰ Δημοσθένει ὁ Φίλιππος (σελ. 123): »ἀκούετε δὲ

Φίλιππον βαδίζοντα ὅποι βούλεται τῷ ψιλοὺς, ἱππέας, τοξότας, ξένους, τοιοῦτον ἐξηρτῆσθαι κρατόπεδον."

Πρὸς δὲ τούτῳ ἔσφαλται καὶ τό· »Ἰοφῶν ὁ κωμικός." Οὔτε γὰρ κωμῳδιοποιὸς ἦν ὁ Ἰοφῶν ἀλλὰ τὴν τοῦ πατρὸς ἐζήλωσε τέχνην, οὔτε κωμικοῦ ἐστὶ δράματα Σατυρικὰ ποιεῖν. Μήποτ' οὖν »ὁ τραγικός" γραπτέον;

»Τὸ δὲ πλεκτὸν στέφανον ἐξ ἀκηράτου λειμῶνος κοσμήσαντας οἴκοι περιφέρειν οὐ σωφρόνων· οὐ γὰρ ἁρμόδιον ῥόδων κάλυξιν ἢ ἴοις ἢ κρίνοις ἢ ἄλλοις τισὶ τοιούτοις ἄνθεσι χαίτην πυκάζεσθαι." σελ. 211. Ἐκ τοῦ Ἱππολύτου ταῦτα, ὡς ὁρᾷς·

Σοὶ τόνδε πλεκτὸν στέφανον ἐξ ἀκηράτου
λειμῶνος, ὦ δέσποινα, κοσμήσας φέρω.

ἐν δὲ τοῖς ἑξῆς φαίνεται ὁ Κλήμης οὐκ ἀνήκοος ὢν τῶν τοῦ Κρατίνου·

Παντοίοις γε μὴν κεφαλὴν ἀνθέμοις ἐρέπτομαι
λειρίοις ῥόδοις κρίνεσιν κοσμοσανδάλοις ἴοις
καὶ σισυμβρίοις ἀνεμώνῶν κάλυξί τ' ἠρινᾶς.
τῷ τ' ἀειφρούρῳ μελιλώτῳ κάρα πυκάζομαι.

οὐκ ἀνεγνωκὼς τὰ τοῦ Κρατίνου, πόθεν; ἀλλ' ἐξ ὧν προήνεγκε ταῦτα καὶ ὁ Δειπνοσοφιστὴς σελ. 685. C.

Φέρεται ἐν πᾶσι τοῖς ἀντιγράφοις σελ. 213 ταῦτα· »ῥόδῳ δὲ τὰς Μούσας Σαπφὼ κατασέφει· οὐ γὰρ ἀπαρχῆς ῥόδων τῶν ἐκ περιεργίας." Ὦ τῆς ἀναισθησίας! Ἐκ τῆς ΠΙΕΡΙΑΣ, ὅθεν αἱ Μοῦσαι, περιεργίας ἡμῖν ἔπλασε Μαργίτης τις βιβλιογράφος, ἀντὶ δὲ τοῦ ἀπαρχῆς νῦν μετέχεις γράφεται, ἐχρῆν δὲ τὸ τῆς Σαπφοῦς, τὸ Αἰολικὸν ἐκεῖνο, γράφειν τὸ πεδέχης. Ἀγνοήσας γάρ τις τὸ ΠΕΔΕΧΗΣ ὅ, τι ποτ' εἴη ἀπ' ἀρχῆς ἔγραψεν οὐχ ἧττον καλῶς καὶ φρονίμως ἢ περιεργίας ἀντὶ τοῦ Πιερίας. Ἔλαβε δὲ ταῦτα ὁ Κλήμης ἐκ τῶν τοῦ Πλουτάρχου Συμποσιακῶν σελ. 646 οὕτω πως λέγοντος· »ὅτι ταῖς Μούσαις ὁ τῶν ῥόδων στέφανος ἐπιπεφήμισαι μεμνῆσθαί μοι δοκῶ Σαπφοῦς λεγούσης πρός τινα τῶν ἀμούσων καὶ ἀμαθῶν γυναικῶν

Κατθανοῖσα δὲ κείσεαι,
οὐ γὰρ πεδέχης ῥόδων
τῶν ἐκ Πιερίης,"

ἐν οἷς τὰ μὲν ἄλλα καλῶς ἔχει, τὸ δὲ Πιερίης τὸ Ἰακὸν τῆς Λιολίδος Μούσης ἀπᾴδει.

Πολλάκις δὲ τὸ Αἰολικὸν καὶ Δωρικὸν τοῦτο ΠΕΔΑ ἀντὶ τῆς μετά κείμενον τοὺς ἀπαιδεύτους ἀντιγραφέας ἐπλάνησεν. Οἱ δὲ θαυμάσαντες τὸ πεδά τί δῆτ' ἂν εἴη πάντα τρόπον τὴν λέξιν παρέφθειραν. Γελοιότερον οὐδὲν τοῦ παρὰ τῷ Διογένει τῷ Λαερτίῳ κειμένου Π. 20· »ἐκάλει δὲ (ὁ Πυθαγόρας) τὸ νουθετεῖν πελαργᾶν," ὅπερ μετέφρασέ τις Ῥωμαϊστὶ διὰ τούτων· Admonere vocabat ciconiarum instar pascere, τουτέστι »νέμεσθαι πελαργῶν δίκην." Ὁρᾷς οὐδὲν ἄλλο ὂν τὸ πελαργᾶν ἢ ΠΕΔΑΡΤΑΝ (πεδαρτᾶν), μεταρτᾶν καὶ μεθαρμόζειν, δῆλον ὅτι ἐπὶ τὸ βέλτιον. Παρὰ τῷ Ἰαμβλίχῳ ἐν τῷ τοῦ Πυθαγόρου βίῳ σελ. 404 γέγραπται· »ἐκάλουν δὲ τὸ νουθετεῖν παιδαρτᾶν," καὶ πάλιν σελ. 218· »τὰς νουθετήσεις — παιδαρτάσεις ἐκάλουν ἐκεῖνοι," ἐξ ὧν τάληθὲς ἀνεῦρεν ὁ Σχαίφερος.

»Ἡ πορφύρα καὶ τὰ ἀργυρώματα, ὥς φησιν ὁ Κωμικός,
εἰς τοὺς τραγῳδοὺς χρήσιμα κοὐκ εἰς τὸν βίον."

σελ. 255. Τοῦ Φιλήμονος ταῦτα, ὡς ἐκ τῶν τοῦ Στοβαίου φαίνεται (Ἀνθολ. Νς. 15)·

τὰ δ' ἀργυρώματ' ἐστὶν ἥ τε πορφύρα
εἰς τοὺς τραγῳδοὺς εὔθετ', οὐκ εἰς τὸν βίον.

Ὁ δὲ Κλήμης, ὡς ἔοικεν, εὗρε ταῦτα ἐν τοῖς εἰς Σωκράτην ἀναφερομένοις ἀποφθέγμασιν, οἷα καὶ ἐν τοῖς τοῦ Λαερτίου Διογένους φέρεται Β. 25: »Συνεχὲς ὁ Σωκράτης ἐκεῖνα ἀνεφθέγγετο τὰ ἰαμβεῖα·

τὰ δ' ἀργυρώματ' ἐστὶν ἥ τε πορφύρα
εἰς τοὺς τραγῳδοὺς χρήσιμ', οὐκ εἰς τὸν βίον."

Τί φῄς, ὦ λῷστε Διόγενες; Ἆρά γε ὁ Σωκράτης συνεχῶς τὰ τοῦ Φιλήμονος ἰαμβεῖα ἀνεφθέγγετο; Καὶ πῶς τοῦτο δυνατὸν, ἐπείπερ ὁ Φιλήμων ἑβδομήκοντα σχεδόν τι ἔτεσι μετὰ τὸν τοῦ Σωκράτους θάνατον ἤρξατο διδάσκειν; Ταῦτα καὶ τὰ τοιαῦτα ὁ Διογένης ἀκρίτως πάνυ ἐκ τῆς κατεψευσμένης ἱστορίας παρέλαβεν, ἥτις ἐκ πλασμάτων καὶ παρακουσμάτων παντοδαπῶν συγκειμένη πλεῖστα δὴ τοὺς τῶν ἐνδόξων ἀνδρῶν βίους διελυμήνατο. Τὸ δ' ἑλληνικὸν ἔθνος ὅτι ἔμφυτον ἔχει τὸ συνετὸν καὶ ἀγχίνουν παντὶ τῷ δῆλον. Ὁμολογοῦμεν οὖν πάντες τῷ εἰπόντι·

Ἕλληνές εἰσιν ἄνδρες οὐκ ἀγνώμονες,
καὶ μετὰ λογισμοῦ πάντα ποιοῦσίν τινος.

Ὁμολογοῦμεν δὲ καὶ τῷ Ἡροδότῳ λέγοντι (Α. 60): »ἀπεκρίθη ἐκ παλαιτέρου τοῦ βαρβάρου ἔθνεος τὸ ἑλληνικὸν ἐὸν καὶ δεξιώτερον καὶ εὐηθίης ἠλιθίου ἀπηλλαγμένον μᾶλλον.'' Εἶχε δὲ ὅμως καὶ ἡ Ἑλλὰς ἀεί τινας ἐπὶ μωρίᾳ διαβεβοημένους, τοὺς Μαργίτας ἐκείνους καὶ Κοροίβους καὶ Μελητίδας καὶ Μαμμακύθους, ἔνεισι δὲ καὶ ἐν τοῖς τῶν Ἑλλήνων συγγραφεῦσι τοῖς μεταγενεστέροις τινὲς Φρενοβλαβεῖς καὶ παντελῶς ἀνόητοι. Τὸ δὲ τοὺς τοιούτους θαυμάζειν καὶ τιμᾶν πάντων ἐστὶ μωρότατον. Ἐγὼ δὲ καὶ ἑτέρους τινὰς οὐκ ὀλίγους τῶν μεταγενεστέρων οἶδα νοῦν ἐλάχιστον κεκτημένους, τοῦ δὲ Λαερτίου Διογένους οὐ μέμνημαι ἐντυχὼν πώποτε ἀνθρώπῳ ἀφρονεστέρῳ οὐδὲ ψυχροτέρῳ ποιητῇ. Πλεῖστα μὲν οὐδενὶ μέντοι ξὺν νῷ ἀνέγνωκε, πλεῖστα δὲ καὶ ἡμῖν πάγκαλα καὶ πάγχρηστα διασέσωκε μόνος, ἀλλὰ πανταχοῦ τούτοις τοσαῦτα καὶ τηλικαῦτα ψεύσματα καὶ πλάσματα καὶ παρακούσματα παρεμβέβληκεν ὥστε ἑκάστοτε τοῖς ἐντυγχάνουσιν ἤτοι ἕλεον κινεῖν ἢ γέλωτα. Λέγω δὲ ταῦτα τῶν νέων τῶν εὐφυεστέρων σοχαζόμενος μάλιστα, τῶν γὰρ ἄλλων τοὺς πλείους πειρατὴς οἶδα πρεσβυτέρους ὄντας ἢ ὥστε ἐμοῦ διδάσκοντος ἤτοι χρηστόν τι προσμαθεῖν ἢ τι κακὸν ἀπομαθεῖν, τοὺς δὲ νεωτέρους ὥσπερ ἄνδρα σίδηρος ἐφέλκεται ἡ ἀλήθεια οὐδὲν προκατεγνωκότας. Οὕτοι οὖν μοι δοκιμαζόντων μὲν πάντα ἀκριβῶς, εἰ δέ τι ἄτοπον καὶ ἀδύνατον ὑπὸ τοῦ Διογένους ἢ τῶν τοιούτων τινὸς ἱστορεῖται, μεμνήσθων ὅτι οὗτός ἐστιν ὁ ἱστορήσας τὸν Σωκράτη τοῖς τοῦ Φιλήμονος ἰαμβείοις συνεχῶς χρήσασθαι τοῦ τὰ πρῶτα δράματα διδάξαντος Ἀθήνησιν ἔτει ἑβδομηκοστῷ μάλιστα ἐξ ὅτου ὁ Σωκράτης τὸ κύνειον ἔπιεν.

Ἀπολλωνίδης τις Νικαεὺς περὶ κατεψευσμένης ἱστορίας πολλὰ βιβλία συνέγραψε τοῦ παντὸς ἂν ἄξια ἡμῖν γενόμενα εἰ διεσώθη. Ἔξεστι δὲ καὶ νῦν ἱστορίας περιφανῶς κατεψευσμένας παμπλείστας συλλέγειν, εἴ τις μὴ εἰκῇ καὶ ἀνεπισκέπτως τοῖς τὰ ἀπίθανα μαρτυροῦσι πιστεύσειεν ἀλλὰ τὴν τῶν πραγμάτων Φύσιν βασανίσας ἱκανῶς πολλῷ περὶ πλείονος ποιήσαιτο τῆς τῶν μαρτυρούντων δοκούσης ἀξιοπιστίας καὶ ἀξιώματος. Πολλοὶ νῦν δοκοῦσί τινες εἶναι καὶ ἀποδοχῆς τυγχάνουσι καὶ πιστεύονται οὓς ἐάν τις τολμήσῃ ἐλευθέρως βασανίζειν καὶ ἐλέγχειν εὑρήσει περὶ ὧν οὐδὲν ἴσασιν εἰκῇ ἀποφαινομένους καὶ λογοποιοῦντας ὅτιοῦν καὶ τὰ μηδέποτε γενόμενα, ἐνίοτε δὲ καὶ μηδὲ δυνατὰ γενέσθαι, μάλα ἀνδρείως διϊσχυριζομένους καὶ (ἵνα μηδὲν ὑποσειλάμενος εἴπω τὰ ἐμοὶ δοκοῦντα) ἀναισχύντως ψευδομένους. Εἶτα τούτοις πείθεται ὡς ἀξιοχρεως

οὖσι δῆθεν καὶ τεκμηριῶσαι ἱκανοῖς ὄχλος πολὺς ἀνθρώπων εὐηθεστέρων καὶ ταχυπειθῶν, οἵτινες τῶν τε ἀληθῶν καὶ πιθανῶν καὶ τῶν μὴ διάγνωσιν οὐδεμίαν ἔχοντες ἀδέσποτόν τινα καὶ πεπλασμένην παράδοσιν[1]) μᾶλιστα περὶ τοὺς τῶν ἐνδόξων καὶ ἐπιφανῶν ἀνδρῶν βίους ἐπὶ πᾶσαν τὴν οἰκουμένην διέσπειραν. Ἐῶ τοὺς ἄλλους, περὶ δὲ τοῦ Σωκράτους τί οὐκ ἐπλάσαντό τινες καὶ ἐψεύσαντο; Πλασμάτων καὶ ψευσμάτων καὶ παρακουσμάτων πάντα μεστὰ παρά τε τοὺς χρόνους καὶ τὴν τἀνδρὸς φύσιν καὶ τὴν τῶν πραγμάτων ἐνάργειαν. Ὁ Δίων ἐκεῖνος ὁ χρυσοῦς τὴν γλῶτταν, ὡς τοῖς τότε ἐδόκει, λόγιος ἀνὴρ καὶ τῶν Φιλοσόφων οὐδενὸς δεύτερος διαλεγόμενος πρὸς Ἀθηναίους ἐν τῷ λόγῳ τῷ Γ. σελ. 226 τὸν Σωκράτην εἰσάγει πρός τινα τῶν πολιτικῶν τάδε λέγοντα· »ἐπεὶ ἔχοις ἄν μοι εἰπεῖν εἰ τότε (ἁλούσης ὑπὸ Λυσάνδρου τῆς πόλεως) Ἀθηναῖοι ἀμουσότεροι καὶ ἀγραμματώτεροι ἐγεγόνεσαν; ἔπειτα αὖθις ἐπὶ Κόνωνος ὅτε ἐνίκησαν τῇ ναυμαχίᾳ τῇ περὶ Κνίδον ἄμεινον ἐπάλαιόν τε καὶ ᾖδον;" Ὡς γλυκὺς εἶ, ὦ Δίων, καὶ ὡς ἀληθῶς χρυσοῦς, εἰ ταῦτ' οἴει τὸν Σωκράτην οὕτως εἰρηκέναι. Καὶ πῶς σύ, ἴσως ἄν τις ἀντείποι, ἀποδείξεις καὶ ἡμᾶς πείσεις ὅτι οὐδὲν τούτων τῷ Σωκράτει εἴρηται; Τῷ αὐτῷ χρώμενος τεκμηρίῳ ᾧ καὶ περὶ τῶν τοῦ Φιλήμονος σιχιδίων ἔπεισά σε, οἶμαι. Ὁ γὰρ Κόνων τὴν περὶ Κνίδον ναυμαχίαν ἐνίκησεν ἔτεσι πέντε μετὰ τὸν τοῦ Σωκράτους θάνατον. Οὐ γὰρ δὴ ταῦτα προμαντευόμενος τὰ μέλλοντα ἔλεγεν ὁ Σωκράτης. Τί οὖν ἔτ' ἀντερεῖς; Ὁρᾷς δὴ οὔτε τὸν Δίωνα οὔτε τῶν τότε Ἀθηναίων οὐδένα τὰ τοιαῦτα ἀκριβοῦντα καὶ οὕτως ἀταλαιπώρως τοῖς τότε τὰ ἱστορικὰ διακείμενα ὥστε ῥᾳδίως τὰ τυχόντα πλάσματα ἐξαπατᾶν ἅπαντας. Προϊόντος δὲ τοῦ χρόνου ἀεὶ μᾶλλον τὸ κακὸν ἐπετείνετο καὶ τοσοῦτον σκότος ἐπεπόλαζεν ὥστε τἀληθῆ τοῖς ψευδέσι κατακεχωσμένα ἀμυδρῶς καὶ μόλις διαφαίνεσθαι. Ἀναγνώτω μοί τις τοὺς τῶν σοφιστῶν βίους τοὺς ὑπὸ τοῦ Φιλοστράτου συγγεγραμμένους ἐπισήσας τὴν διάνοιαν καὶ φυλαττόμενος μή τις αὐτὸν φενακίσῃ ἀντὶ τῆς ἀληθείας ἀπιθάνους

---

[1]) Ἄριστα οὕτως ἀποκαλεῖ τὰ τοιαῦτα ὁ συγγράψας τὸ Περὶ παίδων ἀγωγῆς βιβλίον τὸ ἐν τοῖς Πλουταρχείοις περιφερόμενον. Προειπὼν γὰρ σελ. 6. D.: »Δημοσθένης καλούντων αὐτὸν τῶν Ἀθηναίων σύμβουλον ἀντέβαινεν οὐ συντέταγμαι λέγων." πάνυ φρονίμως ἐπάγει τάδε: »καὶ ταῦτα μὲν ἴσως ἀδέσποτός ἐστι καὶ πεπλασμένη παράδοσις, ἐν δὲ τῷ κατὰ Μειδίου τὴν τῆς σκέψεως ὠφέλειαν ἐναργῶς παρίστησιν."

ψευδολογίας καὶ ἄντικρυς κατεψευσμένην ἱστορίαν συγγράφων. Ῥᾳδίως αἰσθήσεται δήπου νεανίας τις συνετὸς καὶ ἀγχίνους πόσης ἀγνοίας καὶ ἀπαιδευσίας καὶ ἀκρισίας γέμει τὰ τοῦ Φιλοστράτου, καὶ καταγελάσεται, εὖ οἶδ' ὅτι, αὐτοῦ τε τοῦ ἀλαζόνος καὶ τῶν ἠλιθίως καὶ ἀνοήτως αὐτῷ ὡς τι λέγοντι πείθεσθαι εἰωθότων. Δείγματος καὶ ὅσον γεύματος χάριν ἓν τόδε ἀρκείτω. Περὶ αὐτοῦ τοῦ Χρυσοστόμου Δίωνος ἄλλα τέ τινα τερατεύεται ὁ ἀπατεὼν καὶ δὴ καὶ τάδε: »ἡ πειθὼ τοῦ ἀνδρὸς οἵα καταθέλξαι καὶ τοὺς μὴ τὰ Ἑλλήνων ἀκριβοῦντας.« τοὺς μὴ ἐπισταμένους ἑλληνίζειν λέγει, ὡς ἐκ τῶν ἑξῆς γίγνεται φανερόν. Τούτους δὲ πείθειν καὶ καταθέλγειν λαμπρὸν καὶ ὑπερφυὲς καὶ τοῦ Φιλοστράτου ἄξιον τὰ τοιαῦτα τοὺς τὰ Ἑλλήνων ἀκριβοῦντας ὡς γενόμενα διδάσκειν. Ἄκουε δὴ τῶν ἑξῆς· »Τραϊανὸς γοῦν ὁ αὐτοκράτωρ ἀναθέμενος αὐτὸν ἐπὶ τῆς Ῥώμης ἐς τὴν χρυσῆν ἅμαξαν, ἐφ' ἧς οἱ βασιλεῖς τὰς ἐκ τῶν πολέμων πομπὰς πομπεύουσιν, ἔλεγε θαμὰ ἐπιστρεφόμενος ἐς τὸν Δίωνα· Τί μὲν λέγεις οὐκ οἶδα, Φιλῶ δέ σε ὡς ἐμαυτόν.« Εὖ γε, ὦ Φιλόστρατε, θαυμαστὰ ταῦτα καὶ καταπληκτικά, ἐάν γέ τις πρὸς παιδάριά τινα καὶ γραΐδια διαλέγηται. Ἀλλ' οὐκ ἐχρῆν πρὸς ἄνδρας καὶ τοὺς κἂν σμικρὸν νοῦν κεκτημένους τὰ τοιαῦτα φλυαρεῖν, τόν τε Δίωνα τῷ αὐτοκράτορι ἐπὶ τῆς χρυσῆς ἁμάξης συνθριαμβεύοντα — οὐδεὶς γὰρ ἐχρῆτο τῇ ἁμάξῃ εἰ μὴ θριαμβεύων — καὶ τὸν Τραϊανὸν μετὰ τοσαύτας καὶ τηλικαύτας ἐν τῇ Ἀσίᾳ νίκας μηδὲ ἐπὶ τοσοῦτον ἑλληνίζειν ἐπισάμενον, ὥστε τοῦ Δίωνος τοῦ συνθριαμβεύοντος μὴ συνιέναι, ὅ, τι λέγοι. Οἶμαι δὲ καὶ τὸν τυχόντα τῶν βαρβάρων τῶν τῷ Τραϊανῷ εἰς τὴν Ἀσίαν συναναβάντων ἐκ τῆς στρατείας ἐπανελθόντα τῶν ἑλληνιζόντων οὐ χαλεπῶς τὰ πλεῖστα ξυνιέναι, μήτι γε τὸν αὐτοκράτορα τὸν καὶ ἐπὶ τῆς πρώτης στρατείας πρὶν ἄρξαι τὰ τῶν Ἑλλήνων ἀκριβοῦντα, ὡς καὶ εἴ ἄλλοι Ῥωμαῖοι, ὧν καὶ σμικρὸν ὄφελος, ξύμπαντες ἑλληνίζειν καλῶς ἠπίσαντο. Ἀλλ' Ἴβηρ ἦν ὁ Τραϊανὸς οὐκ Ἰταλός, ἴσως ἐρεῖ τις, καὶ στρατιωτικὸς μᾶλλον ἢ εὐπαίδευτος ἅτε δὴ διὰ βίου πολέμοις πλέον ἢ λόγοις ὡμιληκώς. Ἀκουσάτω μοι ὁ ἀντιλέγων τοῦ Κασσίου Δίωνος ΞΗ. 7. § 3 τάδε περὶ αὐτοῦ μαρτυροῦντος: »παιδείας μὲν ἀκριβοῦς ὅση ἐν λόγοις οὐ μετέσχε, τό γε μὴν ἔργον αὐτῆς καὶ ἠπίστατο καὶ ἐποίει.« Οὐκ ἦν ἄρα ὁ αὐτοκράτωρ ἀδύνατος λέγειν καὶ λόγους Ῥωμαΐοις καὶ Ἕλλησι διαθέσθαι. Ἀμφιγνοεῖς ἔτι; Φέρε δὴ σαφεῖ καὶ ἀναντιρρήτῳ τεκμηρίῳ τοῦτ' ἀποδείξωμεν, καθ' οὕτω τῶν

τοῦ Φιλοστράτου λημμάτων πᾶσιν ἐξέσαι καταφρονεῖν. Πρόσεχε δή μοι τὸν νοῦν καὶ ἀκροῶ. Ὁ Νερούας ὁ αὐτοκράτωρ ὑπό τε τοῦ γήρως καὶ τῆς ἀρρωστίας ἀπαγορεύων καὶ καταφρονούμενος ἐς τὸ Καπιτώλιον ἀνέβη καὶ τὸν Τραϊανὸν ἀπόντα τότε καὶ τῆς Γερμανίας ἄρχοντα υἱὸν ἐποιήσατο· »καὶ μετὰ ταῦτα (ὥς φησιν ὁ Δίων) ἐν τῷ συνεδρίῳ Καίσαρά τε αὐτὸν ἀπέδειξε καὶ ἐπέστειλεν αὐτῷ αὐτοχειρίᾳ (ἦρχε δὲ τῆς Γερμανίας ἐκεῖνος)

Τίσειαν Δαναοὶ ἐμὰ δάκρυα σοῖσι βέλεσσιν."

εὐστοχώτατα, οὐ γάρ; καὶ ἀστειότατα ὁ γέρων τοῖς τοῦ Ποιητοῦ ἐχρήσατο. Τίς δὲ οὕτως ἀνόητος ἂν εἴη ὥστε ὑπολαμβάνειν τὸν Νερούαν πρὸς ἄνθρωπον ἀπαίδευτον καὶ τῶν Ἑλληνικῶν γραμμάτων ἀμαθῆ τοιαῦτ' ἂν χαριεντίσασθαι; Ἔχωμεν τοίνυν τῷ μὲν Κασσίῳ Δίωνι χάριν, ὅτι ταῦθ' ἡμῖν ἱστόρησε ΞΗ. 5 τὸν δὲ Φιλόστρατον τὸν Φιλοψευδῆ, τὸν τῆς ἱστορίας λυμεῶνα φυλαττώμεθα. Φυλαττώμεθα δὲ καὶ τοὺς ἄλλους ἅπαντας τοὺς πλάνους καὶ φένακας καὶ πρόχειρον ἀεὶ ἔχωμεν τὸ Μενάνδρειον

γράμματα μαθεῖν δεῖ καὶ μαθόντα νοῦν ἔχειν.

Τῆς περὶ τὴν ὑπόδεσιν ματαιοτεχνίας κατατρέχων ὁ Κλήμης χαρίεντα πολλὰ περὶ τῆς τῶν παλαιῶν τρυφῆς διηγεῖται, ἐν οἷς καὶ τόδε σελ. 240: »(αἱ γυναῖκες) τοὺς ἥλους ἑλικοειδῶς τοῖς καττύμασιν ἐγκατακρούειν ἀξιοῦσιν, πολλαὶ δὲ καὶ ἐρωτικοὺς ἀσπασμοὺς ἐγχαράττουσιν αὐτοῖς ὡς ἂν ἐκ τῆς ἐπιβάσεως ῥυθμίζουσαι τὴν γῆν καὶ τὸ ἑταιρικὸν τοῦ Φρονήματος ἐκ τοῦ βαδίσματος ἐναποσφραγίσωνται." Γελοῖον δή τινα καὶ καινότατον ἐξεύρηκε πάλαι τὰ ἑταιρίδια ταῦτα τυπογραφίας τρόπον! Ἔνεσι δ' ἐν τοῖς πρὸ τούτων σφάλμα τι παρατηρήσεως ἄξιον. Ἐν τοῖς ἀντιγράφοις πᾶσι γέγραπται τάδε: »αἰσχρὰ γοῦν ἀληθῶς τὰ σανδάλια ἐκεῖνα, ἐφ' οἷς ἐστὶ τὰ χρυσᾶ ἀναθέματα." Ἀνάθεμα ὅ, τι ἐστὶν ἡμεῖς μὲν λόγῳ ἀκούσαντες ἴσμεν, οἱ δὲ πάλαι ἔργῳ ἐπειράθησαν, ἀνάθεμα δὲ χρυσοῦν καὶ ἀναθέματα ἐπὶ τοῖς σανδαλίοις τίς ἂν ἀκούων ἀνάσχοιτο ἄνευ γέλωτος; Ὁ δὲ βέλτιστος Πόττερος ἔλυσε τὴν ἀπορίαν παραθέμενος ἐκ τῶν τοῦ Πολυδεύκους (Ξ. 87) τάδε: »Κηφισόδωρος ἐν Τροφωνίῳ

σανδάλιά τε τῶν λεπτοσχιδῶν
ἐφ' οἷς τὰ χρυσᾶ ταῦτ' ἔπεσιν ἄνθεμα.

Ῥᾴστα δὴ ἐν τοῖς τοιούτοις ἐξολισθάνουσιν οἱ ἀντιγραφεῖς, οἵτινες τὰ ἐκκλησιαστικὰ ῥήματα ἕνκυλα ἀεὶ ἔχοντες ἐάν τινι παρομοίῳ

ἐντύχωσιν ἐπὶ ταῦτα εὐεπίφοροι γίγνονται. Πρὸ ὀφθαλμῶν ἔχοντες ΑΝΘΕΜΑ τὸ σύνηθες αὐτοῖς παθόντες ἀναθέματα γράφουσιν, ὅτι δὲ μωρὰ καὶ ἀδιανόητα γράφουσιν οὐδ' αἰσθάνονται. Ἐν τῇ Ἰταλίᾳ διατρίβων ἐντετύχηκα τινὶ ἀντιγράφῳ, ἐν ᾧ οἱ παρ' ἡμῖν Φρίσιοι καὶ τότε καὶ νῦν ἄλκιμοί τινες καὶ φιλελεύθεροι ὄντες καὶ παρρησιαστὴν ἐν τοῖς μάλιστα συνεχῶς καλοῦνται οὐ Φρίσιοι (οὐ γὰρ ἤδεσαν τοὔνομα οἱ μεταγράφοντες) ἀλλὰ Φαρισαῖοι! Τούτων γὰρ τοὔνομα διὰ στόματος ἀεὶ καὶ ἔναυλον ἔχοντες οὐ θαυμαστὸν εἰ ἐπὶ τοῦτο κατηνέχθησαν ὑπενυστάζοντες.

Κομψοτάτη τις ῥῆσις τοῦ Ἀντιφάνους ἐκ τῆς Μαλθακῆς διεσώθη ἡμῖν σελ. 254: »Ἀντιφάνης ὁ Κωμικὸς ἐν Μαλθακῇ τὸ ἑταιρικὸν τῶν γυναικῶν ἀπεσκώπτει τὰ κοινὰ πάσαις ῥήματα εἰς τὴν κατατριβὴν ἐξευρημένα λέγων· ἔρχεται, μετέρχεθ' αὕτη, προσέρχετ', οὐ μετέρχεται, ἥκει, πρόσεσι, ῥύπτεται, προσέρχεται, σμήχεται, κτενίζετ', ἐκβέβηκε, τρίβεται, λούεται, σκοπεῖται, ᾄλλεται, μυρίζεται, κοσμεῖτ', ἀλείφετ', ἂν δ' ἔχοι τι ἀπάγχεται." Εὐφυεῖ τινὶ καὶ φιλομαθεῖ νεανίᾳ σκοπεῖν ἄξιον τά τε ἐν τούτοις ἐσφαλμένα καὶ πῶς ἕκαστόν τι διορθωτέον. Πρῶτον δὲ πάντων σκεψάσθω μοί τις τόδε, τίνα λέγει ὁ Κλήμης τὰ ῥήματα τὰ εἰς τὴν κατατριβὴν ἐξευρημένα. Οὐδὲν γὰρ περὶ τούτων ὑγιὲς οἱ ἐξηγησάμενοι εἰρήκασιν, ἐὰν δὲ τοῦτο μὴ προμάθῃ τις τῆς τῶν ῥημάτων ἀσειότητος καὶ κομψείας οὐκ αἰσθήσεται. Ὅ, τι δὲ τοῦτ' ἐστὶ καὶ τίνα τὰ εἰς τὴν κατατριβὴν ἐξευρημένα ῥήματα τοῦ Ξενοφῶντος ἄκουε ἐν τῇ Παιδείᾳ (A. 3. 11): »ὁπότε βούλοιτο παριέναι ἐπ' ἄριστον λέγοιμ' ἂν ὅτι οὕπω δυνατὸν τῷ ἀρίστῳ ἐντυχεῖν, σπουδάζει γὰρ πρός τινας· εἶθ' ὁπότε ἥκοι ἐπὶ τὸ δεῖπνον λέγοιμ' ἂν ὅτι λοῦται· εἰ δὲ πάνυ σπουδάζοι φαγεῖν εἴποιμ' ἂν ὅτι παρὰ ταῖς γυναιξίν ἐστιν." Ἤδη οἶμαι συνεόρακας πᾶν τὸ πρᾶγμα. Ἐρασής τις πάνυ σπουδάζει τῇ Μαλθακῇ ἐντυχεῖν, ἡ δὲ τριβὰς ἀεί τινας ἐμποιοῦσα παρατείνει αὐτὸν διὰ θεραπαίνης τινὸς λέγουσα ὅτι ὅσον οὔπω ἥκει, ὅτι λοῦται, ὅτι ᾄλλεται, ὅτι μυρίζεται, ὅτι κοσμεῖται, ὁ δὲ χρόνος τέως κατατρίβεται καὶ παραναλίσκεται μάτην. Οὕτω δὴ καὶ ὁ Διογένης τὴν τοῦ Πλάτωνος διατριβὴν σκώπτων κατατριβὴν ἀπεκάλει τὸ περὶ τὰ τοιαῦτα διατρίβειν καὶ τῷ Πλάτωνι συνδιατρίβειν οὐδὲν ἄλλο λέγων εἶναι ἢ μάταιον χρόνου παραναλωμα. Μαθόντες οὖν τοῦ Κωμικοῦ τὴν διάνοιαν τὰ τῆς λέξεως ἐπισκοπώμεθα καὶ τὴν

ἀληθῆ γραφὴν ἀναζητῶμεν. Πρὸς δὲ τοῦτο τοῦ παντὸς ἀξία ἡ τῶν μέτρων ἐπισκήμη, ἧς ἄνευ μάτην μοχθήσει τις καὶ προσέτι γέλωτα ὀφλήσει, εἰδὼς δέ τις τὰ περὶ τὰ μέτρα ὡς ἐν καθαρῷ φωτὶ παραχρῆμα τά τε σφάλματα διόψεται καὶ τὰς διορθώσεις ἐξευρήσει. Λάβετέ μοι τούτου πεῖραν, ὦ νέοι, ἐν τοῖσδε·

Σμήχεται, κτενίζετ', ἐκβέβηκε, τρίβεται,
Λούεται, σκοπεῖται, ϛέλλεται, μυρίζεται.

δύο περιφανῆ σφάλματα ὁρᾶτε· μάχεται γὰρ τῷ μέτρῳ τό τε Σμήχεται καὶ τὸ Λούεται. Τὸ γὰρ μέτρον δισύλλαβόν τι ἀπαιτεῖ ἤτοι ἴαμβον ἢ σπονδεῖον, τὰ δὲ ἀμφίμακρα σμήχεται καὶ λούεται ἀποϛρέφεται. Ἰάσιμον δὲ τὸ πάθος. Οἱ γὰρ Ἀττικοὶ Σμῆται ἔλεγον οὐχὶ Σμήχεται, καὶ Λοῦται οὐχὶ Λούεται, οἱ δ' ἀντιγραφεῖς τὴν ἑαυτῶν συνήθειαν τοῖς παλαιοῖς ἐναπομάττονται. Μέσοι δ' ἔχονται νῦν καὶ ἐπ' αὐτοφώρῳ ἐλαύνουσι τὴν ἀρχαίαν γραφὴν διαφθείροντες. Μανθάνετε οὖν προθύμως τὰ μετρικὰ οὔτε πάνυ χαλεπὰ ὄντα μαθεῖν, ἐάν τις νεώτερος ὢν τούτοις ἐγχειρήσῃ, καὶ εἰς τὴν τῶν λόγων κρίσιν πλείστας καὶ μεγίστας χρείας παρεχόμενα. Τὰ δὲ τοῦ Ἀντιφάνους ἰαμβεῖα ὧδε διαθετέα:

Ἔρχεται,
μετέρχετ' αὖ, προσέρχετ' αὖ, μετέρχεται,
ἥκει, πάρεϛι, ῥύπτεται, προσέρχεται,
σμῆται, κτενίζετ', ἐκβέβηκ', ἐντρίβεται,
λοῦται, σκοπεῖται, ϛέλλεται, μυρίζεται,
κοσμεῖτ', ἀλείφετ', ἂν δ' ἔχοι τι ἀπάγχεται.

τὰ μὲν ἄλλα ἄλλοι διώρθωσαν πρότερον, αὐτὸς δὲ ἀντὶ τοῦ »ἐκβέβηκε, τρίβεται" μετέγραψα »ἐκβέβηκ', ἐντρίβεται." Ἀπᾴδει γὰρ τὸ τρίβεται, καὶ λουμένῃ μέν τις ἀνατρίβεται, κομμουμένῃ δὲ ἐντρίβεται, ὡς σελ. 253·

ψιμυθίῳ πίθηκος ἐντετριμμένος.

καὶ σελ. 256·

λευκόχρως λίαν τίς ἐϛι, παιδέρωτ' ἐντρίβεται.

Τὰ δὲ τελευταῖα ταῦτα »ἂν δ' ἔχοι τι ἀπάγχεται" πῶς διορθωτέον πολλὰ ζητήσας οὐχ εὗρον. Λαβέτω δὲ καὶ ἄλλος.

Μετ' ὀλίγα σελ. 255 εὑρήσεις γεγραμμένον: »οὐ γὰρ εἰς τοσοῦτον περίεργος ἦν." ἐπειδὴ δὲ τῶν ἐφ' ἡμῖν ἐϛὶ τὸ τὸν ΑΝ προσθεῖναι ἢ ἀφελεῖν, γράψαιμ' ἄν: »οὐ γὰρ (ἂν) εἰς τ. π. ἦν."

»Τὴν ξανθίζουσαν τοὺς πλοκάμους ὁ κωμικὸς Μένανδρος εἴργει τῆς οἰκίας·

νῦν δ' ἔρπ' ἀπ' οἴκων τῶνδε· τὴν γυναῖκα γὰρ
τὴν σώφρον' οὐ δεῖ τὰς τρίχας ξανθὰς ποιεῖν."

σελ. 254. Ὁ δ' ἀνὴρ παροξυνθεὶς ἐκβάλλει τὴν γυναῖκα λέγων

νῦν δ' ἔρρ' ἀπ' οἴκων τῶνδε.

τὸ γὰρ ἔρπειν ἐπὶ τοῦ »βραδέως καὶ σχολαίως βαδίζειν" συνήθως τιθέμενον τελέως ἀπᾴδει, παρατραγῳδῶν δὲ λέγει ἔρρ' ἀπ' οἴκων τῶνδε ἀντὶ τοῦ »Φθείρου ἐκ ταύτης τῆς οἰκίας."

»Ἐπ' οὐχ ὁσίαις δὲ τόλμαις οἱ παλίμβολοι
ζῶντας ῥέζουσιν ἀτάσθαλα καὶ κακὰ ἔργα.

φησὶν ἡ Σίβυλλα." σελ. 261. Οὐ τοῦτο εἶπεν ἡ Σίβυλλα, οἶμαι, ἀλλὰ τόδε·

ἐπ' οὐχ ὁσίαισι δὲ τόλμαις
ζώοντες ῥέζουσιν ἀτάσθαλα καὶ κακὰ ἔργα.

Σκληρότερον καθαπτόμενος τῆς τῶν ἀνδρῶν μαλακίας ὁ Κλήμης σελ. 261 γράφει καὶ τάδε: »(οἱ ἄνδρες) πρὸς τὸ μαλθακώτερον ἀποκλίναντες γυναικίζονται κουρὰς μὲν ἀγεννεῖς καὶ πορνικὰς ἀποκειρόμενοι, χλανίσι δὲ διαφανέσι.

περιπεπεμμένοι,
καὶ μασίχην τρώγοντες, ὄζοντες μύρου."

οὕτω τὴν ῥῆσιν ὁ Κλότζιος διέθηκεν ὁ πολλῷ μᾶλλον τῶν πρότερον ἐκδοτῶν τοῦ τε μέτρου πέρι ἐπαΐων καὶ πρὸς τοὺς τῶν ποιητῶν στίχους τοὺς ἑκάστοτε λανθάνοντας τὰ ὦτα τετριμμένος. Ἀτὰρ οὐ τέλος ἵκετο μύθων μέρος μέν τι καλῶς διαθεὶς τἆλλα δὲ ὥσπερ ἦν ἀδιόρθωτα ἐάσας. Ὅτι μὲν γὰρ τὸ περιπεπεμμένοι τοῦ αὐτοῦ ποιητοῦ ἐστιν οὗπερ ὁ στίχος·

καὶ μασίχην τρώγοντες, ὄζοντες μύρου.

πρόδηλον. Οὐ μόνον δὲ τὸ περιπεπεμμένοι ἀλλὰ καὶ τὰ λοιπά· χλανίσι δὲ διαφανέσι, καὶ τοῦτο πρόδηλον. Ζήτει δὲ ὅπως ταῦτα εἰς ἰαμβεῖον ἐντενεῖς. Φαυλότατα καὶ ῥᾴστα ὧδέ πως·

Χλανίσι δὲ δὴ φαναῖσι περιπεπεμμένοι,
καὶ μασίχην τρώγοντες, ὄζοντες μύρου.

ταῦτα δὲ ἤτοι Σιμωνίδειά ἐστιν ἢ τῶν Κωμικῶν ἑνός γέ του. Σπάνιον πάνυ τὸ περιπέττειν ἀντὶ τοῦ περικαλύπτειν, ὡς ἐν τῷ Ἀριστοφάνους Πλούτῳ στίχ. 159.

ὀνόματι περιπέττουσι τὴν μοχθηρίαν.

Ἀλλ' οὔτε αἱ χλανίδες διαφανεῖς ἦσαν, ὡς οἱ χιτωνίσκοι τῶν ἑταιρουσῶν, καὶ ἀνάρμοστον τὸ διαφανεῖ χλανίδι περικεκαλυμμένος. Ἁρμοδιώτατον δὲ τὸ φαναῖς, ἤγουν λαμπραῖς, χλανίσιν, ὡς ἐν τοῖς Ἀριστοφάνους Ἀχαρνεῦσι στίχ. 845.

χλαῖναν δ' ἔχων φανὴν δίει.

»Κοινὰ δὲ ἀνέφκται ἀνδράσιν ὁμοῦ καὶ γυναιξὶ τὰ βαλανεῖα, κἀντεῦθεν ἐπὶ τὴν ἀκρασίαν ἀποδύονται· ἐκ τοῦ γὰρ εἰσορᾶν γίνεται ἀνθρώποις ἐρᾶν," σελ. 272. Ὁ Συλβούργιος τὸ ἄρθρον προθεῖναι ἀξιοῖ (τὸ) ἐρᾶν, νῦν δὲ αὐτῷ μὴ πείθεσθαι ἄμεινον. Στίχος γάρ ἐστιν ἐκ κωμῳδίας·

ἐκ τοῦ γὰρ ἐσορᾶν γίγνετ' ἀνθρώποις ἐρᾶν.

Σώζεται ὁ στίχος ἐν τῇ τοῦ Ἡσυχίου λέξει· »Ὀμμάτειος πόθος: διὰ τὸ ἐκ τοῦ ὁρᾶν ἁλίσκεσθαι ἔρωτι·

ἐκ τοῦ γὰρ ἐσορᾶν γίγνετ' ἀνθρώποις ἐρᾶν.

καὶ ἐν Ἀχιλλέως Ἐρασταῖς ὀμματοπάλογχά φησιν." Εὐστοχώτατα ὁ Ναύκιος·

ὀμμάτων ἄπο | λόγχας ἵησιν.

Πολλὰ καὶ παντοδαπὰ ἀνεγνωκὼς ὁ Κλήμης οὐ μόνον ὅλας ῥήσεις ἐκ τῶν ἐνδοξοτάτων ποιητῶν ἀπανθισάμενος παρατίθεται ἀλλὰ καὶ πλεονάκις ὀλίγα τινὰ ῥημάτια ποιητικῆς χάριτος ὄζοντα τοῖς ἰδίοις παραναμίγνυσι παίζων καὶ χαριεντιζόμενος, ἅμα δὲ καὶ τὰ λεγόμενα κοσμῶν καὶ καλλωπίζων. Οἷόν ἐστι τὸ σελ. 203 γεγραμμένον: »σιγὴ μὲν γὰρ ἀρετὴ γυναικῶν, ἀκίνδυνον δὲ τῶν νέων γέρας." Τίς γὰρ ἀγνοεῖ τὸ περιβόητον ἐκεῖνο·

ἔστι καὶ σιγᾶς ἀκίνδυνον γέρας.

καὶ τὸ τοῦ Σοφοκλέους·

ὁ δ' εἶπε πρός με βαί', ἀεὶ δ' ὑμνούμενα·
γύναι, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει.

Γέμει δὲ τῶν τοιούτων τὰ τοῦ Κλήμεντος καὶ πλειστάκις μὲν τοῖς τοῦ Ποιητοῦ ἀσπαζόμενος ἥδεται, πολλάκις δὲ καὶ τοῖς τῶν ἄλλων εἴ τι ἀνθηρὸν ἢ γλαφυρὸν ἔχουσι. Διασύρων που τὴν τῶν ὑποστρωννυμένων πολυτέλειαν τάδε γράφει κατὰ λέξιν σελ. 216: »τὰς χρυσοπάστους τάπιδας καὶ χρυσοποικίλτους ψιλοδάπιδας, ξυστίδας τε ἀλουργὰς καὶ τοὺς γαυνάκας τοὺς πολυτιμήτους τά τε ποιητικὰ ῥήγεα τὰ πορφυρᾶ χλαίνας τ' ἐφύπερθεν οὔλας καὶ τὰς ὕπνου

μαλακωτέρας εὐνάς." Γνωρίζεις τὸ Θεοκρίτειον IE. 125.

πορφύρεοι δὲ τάπητες ἄνω μαλακώτεροι ὕπνω.

"Οταν δὲ γράφῃ σελ. 300: »καθάπερ καὶ τοὺς πολύποδας ταῖς πέτραις φασὶν ἐξομοιουμένους οἷς ἂν προσομιλῶσι τοιούτους φαίνεσθαι καὶ τὴν χροιάν," ἐκ τοῦ »προσομιλῶσι" φανερός ἐστι παραφράζων τὸ Θεογνίδειον ἐκεῖνο στίχ. 215.

Πουλύπου ὀργὴν ἴσχε πολυπλόκου, ὃς ποτὶ πέτρῃ
τῇ προσομιλήσῃ τοῖος ἰδεῖν ἐφάνη.

'Ωφέλιμον δ' ἐστὶ τὰ τοιαῦτα ἐπιμελῶς παρεπισημειοῦσθαι· ἐν ἐνίοις γὰρ ἡ τῶν φραζομένων χάρις μᾶλλον ἀναφαίνεται, ἐν ἄλλοις δὲ ἡ τῶν λεγομένων διάνοια περιφανῶς ἀνασώζεται. Δείξω δὲ καὶ τοῦτο κἀκεῖνο ἓν ἑκατέρου παράδειγμα παρατιθέμενος. Ἐπιτρέπει ὁ Παιδαγωγὸς σελ. 179 εἰς ἑσπέραν περὶ τὴν τοῦ δείπνου ὥραν οἴνῳ χρῆσθαι »ἐπειδὰν μηκέτι τοῖς ἀναγνώσμασι σχολάζωμεν τοῖς νηφαλιωτέροις. — ὀλίγῳ δὲ τῷ οἴνῳ κἀνταῦθα, οὐ γὰρ μέχρι τῶν ὕβρεως προσιτέον κρατήρων." Διόρθωσον δέ μοι πρῶτον προϊτέον ἀντὶ τοῦ προσιτέον, καὶ τοῦτό μοι μέμνησο ὅτι καὶ τόδε ἓν τῶν ἐφ' ἡμῖν ἐστὶ τὸ τὴν ΠΡΟ καὶ τὴν ΠΡΟΣ ἀεὶ μεταλλάττειν πρὸς τὸ δέον. Ὡς δὲ χαριέντως εἴρηται τὸ· »οὐ μέχρι τῶν ὕβρεως προϊτέον κρατήρων," παρ' αὐτοῦ τοῦ Διονύσου μάνθανε, ὃν Εὔβουλος ὁ κωμῳδιοποιὸς ἐν Σεμέλῃ ἢ Διονύσῳ παρὰ τῷ Δειπνοσοφιστῇ σελ. 36 B. εἰσάγει λέγοντα τάδε·

τρεῖς γὰρ μόνους κρατῆρας ἐγκεραννύω
τοῖς εὖ φρονοῦσι· τὸν μὲν ὑγιείας ἕνα,
ὃν πρῶτον ἐκπίνουσι, τὸν δὲ δεύτερον
ἔρωτος ἡδονῆς τε, τὸν τρίτον δ' ὕπνου,
ὃν ἐκπιόντες οἱ σοφοὶ κεκλημένοι
οἴκαδε βαδίζουσ', ὁ δὲ τέταρτος οὐκ ἔτι
ἡμέτερός ἐστ' ἀλλ' ὕβρεως.

μέχρι τούτου τοίνυν προελθεῖν τοῖς σωφρονοῦσιν οὐ θέμις ἀλλὰ προαπιτέον. Προσθήσω δὲ τούτοις ῥῆσίν τινα τοῦ Κλήμεντος κακῶς λελωβημένην ἣν ῥᾳδίως ἐπανορθώσει ὁ ἐν καιρῷ στιχιδίου τινὸς Εὐριπιδείου ἀναμνησθείς, ὃ χαριέντως πάνυ ὁ Κλήμης τοῖς ἰδίοις παρενέβαλε. Διηγούμενος τὴν βδελυρωτάτην τῶν Καρποκρατιανῶν ἀσέλγειαν ἐν τῷ τῶν Στρωματέων τρίτῳ σελ. 514 τάδε γράφει κατὰ λέξιν: »τούτους φασὶ καί τινας ἄλλους ζηλωτὰς τῶν ὁμοίων κακῶν εἰς τὰ δεῖπνα ἀθροιζομένους — ἄνδρας ὁμοῦ καὶ γυναῖκας μετὰ δὴ τὸ κορεσθῆναι ἐν πλησμονῇ τῇ κυπρίσῃ φασὶ τὸ

βαρβάρῳ· Ἑλλὰς ὅλη ναυτίλλεται, ξενοχωρεῖται δὲ ἡ θάλασσα ἠπείρους φέρουσα," καὶ ἕτερα πλείω τοιαῦτα κακοζηλίαν μὲν πολλὴν, δείνωσιν δὲ οὐδεμίαν ἔχοντα. Ὀλίγον δέ τι ὑποβὰς παρατραγῳδεῖ καὶ τάδε: »Ἀδικία κρατεῖ καὶ τοῦ ποιητοῦ Διὸς ἐκείνου τὸ ὄμμα τοὺς Θρᾴκας βλέπει· εὐγενὲς αἷμα βάρβαρα πίνει πεδία καὶ ποταμῶν ῥεύματα σώμασιν ἵξαται νεκροΐς." καὶ μετ' ὀλίγα: »Ἢ φύγωμεν, Ὅμηρε, καὶ σῴμεν; δεῖξον ἡμῖν γῆν μὴ κεκινημένην. Μὴ θίγῃς ἡνίων, παιδίον, ἄπειρος ὢν μηδὲ ἀναβῇς τὸν δίφρον ἐλαύνειν μὴ μαθών."

Τὰ καλὰ δὴ ταῦτα θαυμάσας ὁ Εἴνσιος στίχους οἴεται εἶναι ἰαμβικοὺς Εὐριπιδείους τοιούσδε τινάς·

Τό τ' εὐγενὲς αἷμα βάρβαρα πίνει χωρία,
καὶ ῥεύματα ποταμῶν σώμαθ' ἵξαται νεκρῶν.

τὰ δὲ τελευταῖα οὕτως ἐν τῇ τοῦ Συλβουργίου ἐκδόσει γραφόμενα εὑρών·

Μὴ θίγῃς ἡνίων, παιδίον, ἄπειρος ὢν·
μηδὲ ἀναβῇς τὸν δίφρον ἐλαύνειν μὴ μαθών.

μεταγράφειν ἀξιοῖ ὧδέ πως·

Μὴ δίφρον ἀναβῇς τόνδ' ἐλαύνειν μὴ μαθών,
μηδ' ἡνίων θίγῃς, παιδίον, ἄπειρος ὤν.

Χαλεπὸν τὰ τοιαῦτα ἀγελαστὶ μεταγράφειν, ξυνίησι γὰρ ὁ βέλτιστος καὶ τἄλλα σοφώτατος Εἴνσιος τούτων τὸ παράπαν οὐδέν, ὥστε πρὸς αὐτὸν ὀρθῶς ἂν εἴποι τις· μὴ θίγῃς τῶν μετρικῶν, ὦ κράτιστε Εἴνσιε, ἄπειρος ὢν μηδὲ τὰ τῶν ποιητῶν διορθοῦν ἐπιχειρήσῃς στιχομετρεῖν μὴ μαθών. Πλέον γὰρ οὐδὲν ποιήσεις καὶ τοῖς τὰ μετρικὰ ἐπισταμένοις γέλωτα ὀφλήσεις. Ἓν μέντοι ἐν τούτοις ὁ ἀνὴρ κατώρθωσεν ἀντὶ τοῦ ποιητοῦ Διὸς ἀξιῶν γράφειν ποιητικοῦ. Ὀρθότατα, οὐ γάρ;

Κωμικοῦ τινὸς ῥῆσις διακρίνει ἐκ τῶνδε σελ. 274: »μή πη ἄρα καὶ πρὸς ἡμᾶς φήσῃ τις· ὁ ἵππος αὐτοῦ πεντεκαίδεκα τάλαντα ἐστὶ ἄξιος ἢ τὸ χωρίον ἢ ὁ οἰκέτης ἢ τὸ χρυσίον, αὐτὸς δὲ χαλκῶν ἐστὶ τιμιώτερος τριῶν." Φανερὰ δὲ τὰ τοῦ μέτρου ἴχνη·

ὁ μὲν ἵππος αὐτοῦ πεντεκαίδεκ' ἄξιος
ἐστὶν τալάντων.
αὐτὸς δὲ χαλκῶν ἐστὶ τιμιώτερος
τριῶν.

»Ὡς γέ μοι φαίνεται (ἡ κωμῳδία φησὶ) τὰ ἴχνη τὰ ἑταιρικὰ

ὥραν ἀπολείπειν καὶ τρυφήν.'' σελ. 294. Ἐρασής τις, ὡς ἔοικεν, οὕτως εἶπεν·

ὡς' ἔμοιγε φαίνεται
ὥραν ἀπολείπειν καὶ τρυφὴν τὰ τῆσδ' ἴχνη.

Παροιμία τις ἔμμετρος ἐν τοῖς τοῦ Κλήμεντος λανθάνει σελ. 296: »οἷα γὰρ δέσποινα, φασὶν οἱ παροιμιαζόμενοι, τοιάδε χὰ κύων.'' Παραβαλὼν τούτοις τὰ τῷ Πλάτωνι ἐν τῇ Πολιτείᾳ γεγραμμένα H. 563 C: »ἀτεχνῶς γὰρ αἱ κύνες κατὰ τὴν παροιμίαν οἷαπερ αἱ δέσποιναι γίγνονται,'' καὶ τὸ εἰς ταῦτα σχόλιον τόδε: »Σημείωσαι τὴν παροιμίαν λεγομένην ἐπὶ τῶν ὁμοιουμένων πάντως ἀρχομένων (γράφε· ἐπὶ τῶν ἀρχομένων πάντως ὁμοιουμένων) τοῖς αὐτῶν ἄρχουσιν· ἔστι δὲ ὅλη

οἵαπερ ἡ δέσποινα τοίαχὰ κύων.''

ἀνευρήσεις παλαιάν τινα παροιμίαν δωρισὶ γεγραμμένην ἐν Ἰαμβείῳ

οἵαπερ ἁ δέσποινα τοίαχὰ κύων.

Ὑποφθέγγεταί ποιητής τις ἀλλ' οὐδεὶς τὸν νοῦν αὐτῷ προσέχει σελ. 432 ἐν τούτοις: »οὐ γὰρ φρονέουσι τοιαῦτα πολλοὶ ὁκόσοι ἐγκυρσεύουσι οὐδὲ μαθόντες γινώσκουσι ἑωυτοῖσι δὲ δοκέουσι, κατὰ τὸν γενναῖον Ἡράκλειτον.'' Ἀλλὰ ταῦτα πάντα, ἐρεῖ τις, τοῦ Ἡρακλείτου ἐστὶ τοῦ σκοτεινοῦ, πῶς οὖν ἐν τούτοις ποιητής τις κατὰ τὸν σὸν λόγον ὑποφθέγγεται; Ἐγὼ διδάξω, μᾶλλον δὲ ἕτερόν τινα εἰσάξω διδάξοντα, τὸν ποιήσαντα τὸν εἰς Πλάτωνα ἀναφερόμενον Ἐρυξίαν σελ. 597 λέγοντα οὕτως: »ὁποῖοι ἄν τινες ὦσιν οἱ χρώμενοι τοιαῦτα καὶ τὰ πράγματα αὐτοῖς ἀνάγκη εἶναι· καλῶς δὲ δοκεῖ μοι καὶ τὸ τοῦ Ἀρχιλόχου πεποιῆσθαι

καὶ φρονεῦσι τοῖ' ὁκοίοις ἐγκυρέωσιν ἔργμασι.''

Ἆρ' αἰσθάνει τοῦ Ἡρακλείτου τῷ ποιητῇ ἀντιλέγοντος καὶ μονονοὺ βοῶντος »οὐκ ἐς' ἔτυμος λόγος οὗτος, ὦ Ἀρχίλοχε, οὐ γὰρ φρονέουσι τοῖα πολλοὶ ὁκοίοις ἐγκυρέωσι οὐδὲ μαθόντες γινώσκουσι'' καὶ τὰ ἑξῆς. Ῥᾴστη νῦν ἡ τούτων διόρθωσις, ἀλλ' ὅρα μοι τὴν τῶν ἀντιγράφων λύμην.

Καλλίσην ῥῆσιν τραγικοῦ τινὸς ὁ Κλήμης σελ. 462 ἔσωσεν ἡμῖν οὕτως ἔχουσαν: »οὐδὲ Αἴας σιωπᾷ, μέλλων δὲ ἑαυτὸν ἀποσφάττειν κέκραγεν· οὐδὲν οὖν ἦν πῆμα ἐλευθέρου ψυχὴν δάκνον οὕτως ὡς ἀνδρὸς ἀτιμία.

οὕτω πέπονθα καί με συμφοροῦσα
βαθεῖα κηλὶς ἐκ βυθῶν ἀναστρέφει
λύσσης πικροῖς κέντροισιν ἠρεθισμένον."

Τὰ μὲν πρῶτα θαυμαστῶς ὡς συγκεχυμένα ὁρᾷς καὶ τοῦ μέτρου οὐδ' ἴχνος φαίνεται, ἀλλ' ἐβοήθησεν ἡμῖν ἐν καιρῷ ὁ Χρύσιππος ἐν τῷ Περὶ ἀποφατικῶν ἀξιωμάτων οὐχ ἅπαξ ἀλλὰ πολλάκις τάδε παρατιθέμενος·

οὐκ ἦν ἄρ' οὐδὲν πῆμ' ἐλευθέρου δάκνον
ψυχὴν ὁμοίως ἀνδρὸς ὡς ἀτιμία.

ἐπ' αὐτοφώρῳ νῦν εἰλήφαμεν τοὺς ἀντιγραφέας τὰ βιβλία διαλυμαινομένους, ἅμα δὲ καὶ ἐκ τῶν τοιούτων φανερὸν πᾶσι γίγνεται ὅτι ἔξεσι τοῖς τὰ τῶν ποιητῶν διορθοῦσιν ὡς ἂν βούλωνται τὰ ἐν τοῖς ἀντιγράφοις φερόμενα καταχωρίσαι καὶ μετατάξαι. Ἐν τοῖς λοιποῖς βαθεῖα κηλὶς περίεσιν ἐν τῷ συμφοροῦσα. Τί ἀναγνωσέον; Τὸ παρισάμενον ἐρῶ. Ἐμοὶ γὰρ δοκεῖ ὁ ποιητὴς εἰρηκέναι οὕτω·

καί με συμφρουροῦσ' ἀεὶ | βαθεῖα κηλὶς κτέ.

ὡς γὰρ ἀείφρουρος παρὰ τοῖς τραγικοῖς τίθεται κυρίως μὲν ἀντὶ τοῦ ἀειθαλής, τροπικῶς δὲ ἀντὶ τοῦ ἀεὶ διαμένων καὶ ἀΐδιος, οὕτω τὸ σύμφρουρος καὶ τὸ συμφρουρεῖν ἐπὶ τοῦ ἀεὶ συνδιαμένειν τινὶ ὀρθῶς τίθεται, καὶ ἡ ἀεὶ συμφρουροῦσα κηλὶς οὐδὲν ἄλλο ἐστὶν ἢ ἡ ἀεὶ τῇ ψυχῇ ἐντετηκυῖα καὶ ὑποικουροῦσα.

Ὁ Θηβαῖος Κράτης τοὺς Κυνικοὺς μακαρίζων (σελ. 492) ὅτι οὔτε φιλάργυροί εἰσιν οὔτ' ἀκόλαστοι καὶ φιλήδονοι, ἐπιλέγει τάδε·

ἡδονῇ ἀνδραποδώδει ἀδούλωτοι καὶ ἄκαμπτοι
ἀθάνατον βασιλείαν ἐλευθερίαν τ' ἀγαπῶσιν.

ἐν τούτοις γραφικὸν σφάλμα ἔνεστι μικρὸν μὲν ἀλλ' οὐκ εὐκαταφρόνητον. οὐ λέγω δὲ ὅτι βασίλειαν γραπτέον οὐ βασιλείαν, τοῦτο γὰρ οὐδὲ λόγου δεῖ, ἀλλ' ἕτερόν τι. Πότερον ἓν τί ἢ δύο ἀγαπῶσιν οἱ Κυνικοί, τήν τε Βασίλειαν τὴν ἀθάνατον καὶ τὴν Ἐλευθερίαν; Ἀλλὰ τὰ δύο ταῦτα ἓν ἐστιν, ἡ Ἐλευθερία γὰρ ἀθάνατος βασίλεια ἔστι τε καὶ καλεῖται. Ἔξελε οὖν μοι τὸν τε σύνδεσμον ἀνοήτως παρεμβεβλημένον καὶ οὕτω γράφε·

ἀθάνατον βασίλειαν Ἐλευθερίαν ἀγαπῶσιν.

Ἐπὶ τούτοις εὐθὺς ὁ Κλήμης τάδε γράφει σελ. 493 »οὗτος (ὁ

Κράτης) ἐν ἄλλοις εὐθυρρημόνως γράφει τῆς εἰς τὰ ἀφροδίσια ἀκατασχέτου ὁρμῆς κατάπλασμα εἶναι λιμόν, εἰ δὲ μὴ βρόχον." Γελάσειαν ἂν, οἶμαι, ἰατρῶν παῖδες τὸ καινὸν τοῦτο καταπλασμάτων γένος. Γραπτέον κατάπαυμα, οὐ κατάπλασμα. Τἀληθὲς παρὰ τῷ Θεοδωρήτῳ διεσώθη τὰ τοῦ Κλήμεντος ὡς εἴωθε μεταγράψαντι. Οἱ στίχοι οἱ τοῦ Κράτητος φέρονται παρὰ πολλοῖς, ἔχουσι δὲ οὕτως·

Ἔρωτα παύει λιμὸς, εἰ δὲ μὴ, χρόνος·
ἐὰν δὲ μηδὲ ταῦτα τὴν φλόγα σβέσῃ,
θεραπεία σοι τὸ λοιπὸν ἠρτήσθω βρόχος.

Παρέγραψα τοὺς στίχους ἵνα τὸν τρίτον κακῶς διακείμενον θεραπεύσω. Θεραπεία ἔχον τὸ α φύσει μακρὸν τῷ μέτρῳ μάχεται. Ἔγραψαν οὖν τινὲς θεραπεῖα, οἱ δὲ θεράπεια βιαζόμενοι, βαρβαρικὰ γὰρ ταῦτα. Ὁ ποιητὴς, ἐμοὶ δοκεῖν, ἑτέρῳ ὀνόματι ἐχρήσατο ταὐτὸν δυναμένῳ καὶ εἶπεν οὕτως·

Ἴαμά σοι τὸ λοιπὸν ἠρτήσθω βρόχος.

Περὶ γάμου διαλεγόμενος ὁ Κλήμης σελ. 504. Μενάνδρου φῆσιν παρατίθεται τήνδε·

Λ. πρὸς τὸ πρᾶγμ' ἔχω
κακῶς. Β. ἐπαρισφέρως γὰρ αὐτὸ λαμβάνεις,
τὰ δυσχερῆ τε καὶ τὰ λυπήσαντά σε
ὁρᾷς ἐν αὐτῷ, τὰ δ' ἀγάθ' οὐκ ἐπιβλέπεις.

καὶ τὰ ἑξῆς." Σφάλμα ἓν καὶ δεύτερον ἐν τούτοις διορθώσων προσγράψω πρῶτον καὶ τὰ ἑξῆς ἐν τῷ τοῦ Στοβαίου Ἀνθολογίῳ διασωθέντα καὶ ἔχοντα οὕτως·

εὕροις δ' ἂν οὐδὲν τῶν ἁπάντων, Σιμύλε,
ἀγαθὸν, ὅπου τι μὴ πρόσεσι καὶ κακόν.
γυνὴ πολυτελὴς ἐς' ὀχληρόν, οὐδ' ἐᾷ
ζῆν τὸν λαβόν θ' ὡς βούλετ', ἀλλ' ἔνεσί τι
ἀγαθὸν ἀπ' αὐτῆς, παῖδες· ἐλθόντ' εἰς νόσον
τὸν ἔχοντα ταύτην ἐθεράπευσεν ἐπιμελῶς,
ἀτυχοῦντι συμπαρέμεινεν, ἀποθανόντα τε
ἔθαψε, περιέσειλεν οἰκείως, ὅρα
εἰς ταῦθ', ὅταν λυπῇ τι τῶν καθ' ἡμέραν.
οὕτω γὰρ οἴσεις πᾶν τὸ πρᾶγμ'· ἂν δ' ἐκλέγῃ
ἀεὶ τὸ λυποῦν, μηδὲν ἀντιπαρατιθεὶς
τῶν προσδοκωμένων ὀδυνήσει διὰ τέλους.

Πρὸς τίνα ταῦτα οἴει λέγεσθαι; Πότερον πρὸς γεγαμηκότα ἢ πρός τινα περὶ γάμου βουλευόμενον; Ἐγὼ μὲν ἐμοὶ δοκῶ ἀγάμου τινὸς καὶ γαμεῖν διὰ τὰς ἐνούσας δυσχερείας ὀκνοῦντος ἀκούειν. »πρὸς τὸ πρᾶγμ' ἔχω κακῶς" φησί, τουτέστιν ὀκνηρῶς καὶ ἀπροθύμως, οὐκ ἀρέσκομαι τῷ πράγματι, οὐ βούλομαι τοῦτο ποιεῖν ὅπερ μοι συμβουλεύεις. Φανερὸν δὲ καὶ ἐκ τῶν ἄλλων ὅτι περὶ γαμεῖν μέλλοντος ὁ λόγος. Γραπτέον ἄρα λυπήσοντα ἀντὶ τοῦ λυπήσαντα. Πρὸς γεγαμηκότα δ' εἶπεν ἄν τις τὰ λυποῦντά σε, οὐχὶ τὰ λυπήσαντα. Εἶτα καλῶς ὁ Μενέκιος γράφει·

ὁρᾷς ἐν αὐτῷ, τὰ δ' ἀγάθ' οὐκέτι βλέπεις.

ἐπὶ τοῦ Μενάνδρου γὰρ τὸ μὲν βλέπειν ἀντὶ τοῦ ὁρᾶν τίθεται, τὸ δ' ἐπιβλέπειν οὐκέτι, καθάπερ οὐδεὶς πώποτε ἀντὶ τοῦ ὁρᾶν ἐχρήσατο τῷ ἐφορᾶν. Ἐν δὲ τοῖς ἑξῆς ἀντὶ τοῦ »ἀγαθὸν ὅπου" ἐν ἄλλοις Φέρεται »ἀγαθὸν ἐν ᾧ," ἀλλ' οὔτε τοῦτο ὑγιῶς ἔχει οὔτ' ἐκεῖνο, γραπτέον δέ·

ἀγαθόν, ὅτῳ τι μὴ πρόσεστι καὶ κακόν.

μετ' ὀλίγα δὲ πῶς Φέρεις, ὦ Φίλτατε Κόντος, τὸ »τὸν ἔχοντα ταύτην;" Τίνα ταύτην, ὦ Μοῦσαι Φίλαι; καὶ πόθεν τὸ δεικτικὸν τοῦτο; Τίς ποτε δείκνυσι τὸ οὐχ ὁρώμενον; Διερωτέον, οἶμαι:

τὸν ἔχονθ' ἑαυτὴν ἐθεράπευσεν ἐπιμελῶς.

Ἀλλ' οὔπω πάντα τὸν ῥύπον διεκαθήραμεν, ἐπάγει γάρ·

οὕτω γὰρ οἴσεις πᾶν τὸ πρᾶγμα.

Πῶς πᾶν τὸ πρᾶγμα; Ἆρά γε καὶ μέρος τι τοῦ πράγματος, τοῦ γάμου, Φέροι τις ἂν ὀπωσοῦν; Οὐδὲν ἄλλο τῷ λόγῳ ἁρμόζει ἢ·

οὕτω γὰρ οἴσεις εὖ τὸ πρᾶγμα.

Τέλος δὲ ἀντὶ τοῦ »ἂν δ' ἐκλέγῃ ἀεὶ τὸ λυποῦν" μεταγράψαιμ' ἂν ἐκλέγῃς, ἐπειδὴ περὶ δυσχερῶν καὶ ἀνιαρῶν ὁ λόγος καὶ περὶ ὧν οὐκ ἄν τις ἄσμενος λάβοι. Πρὸς δὲ τούτοις ὑποψία τις παρέῃ μοι περὶ τῶν πρώτων στίχων·

πρὸς τὸ πρᾶγμ' ἔχω
κακῶς. Β. ἐπαριστέρως γὰρ αὐτὸ λαμβάνεις.

οὐ γὰρ εἰώθασιν οἱ κωμικοὶ τὰ λεγόμενα οὕτως ἀκριβῶς διακόπτειν τοῖς στίχοις ὥστε τὸ »κακῶς" μόνον τῶν συμφραζομένων ἀποστιχισθὲν εἰς τὸν δεύτερον στίχον μετατιθέναι. Μήποτε τάδε εἶπεν ὁ Μένανδρος·

πρὸς τὸ πρᾶγμ' ἔχω κακῶς.
Β. (οὐ θαὖμ'), ἐπαριστέρως γὰρ αὐτὸ λαμβάνεις.

Τοῖς Μενανδρείοις στίχοις ὁ Κλήμης τάδε ἐπάγει σελ. 504. »βοηθεῖ δὲ ὁ γάμος καὶ — παῖδας γηροβοσκοὺς ἐκτρέφων

παῖδες δὲ ἀνδρὶ κατ' αἶαν ὄντι κληδόνες.
γεγάασι, φέλλοι δ' ὡς ἄγουσι δίκτυον τὸν
ἐκ βυθοῦ καὶ κλωστῆρα σώζοντες λίνῳ,

κατὰ τὸν τραγικὸν Σοφοκλέα." Οὗ σε λανθάνει, ὦ βέλτιστε Κόντος, τίνος αὕτη ἡ ῥῆσις ἡ καλὴ οὕτω καὶ λαμπρά. Μέμνησαί που τοῦ Αἰσχύλου ἐν ταῖς Χοηφόροις στίχ. 504 οὕτως εἰρηκότος·

οὕτω γὰρ οὐ τέθνηκας οὐδέπερ θανών·
παῖδες γὰρ ἀνδρὶ κληδόνες σωτήριοι
θανόντι· φέλλοὶ δ' ὡς ἄγουσι δίκτυον
τὸν ἐκ βυθοῦ κλωστῆρα σώζοντες λίνου.

Ὅρα νῦν μοι ὅπως ἡμῖν ἀβλαβῶς τὰ τῶν Ἑλλήνων βιβλία διάκειται. Πόσων γὰρ ταῦτα καὶ πηλίκων ἡμῖν σφαλμάτων γέμει! Κἄτα τοῖς τοιούτοις ἡμᾶς πιστεύειν ἀξιοῦσιν! Τίς γὰρ οὐκ ἂν ἐν τραγικῇ λέξει δυσχεράνειε καὶ διαπτύσειε τὸ γεγάασιν ἀντὶ τοῦ γεγόνασιν ἢ εἰσίν. Ἀλλ' ὁ Σοφοκλῆς γοῦν αὐτῷ ἐχρήσατο, βοήσειεν ἄν τις, διαρρήδην τοῦτο τοῦ Κλήμεντος μαρτυροῦντος. Ὁρᾷ νῦν ἕκαστός τις ὅτι τοῖς τοιούτοις οὐκ ἔνι πίστις οὐδεμία. οὐκοῦν ὅ, τι ἂν φανῇ ἐν τοῖς ἀντιγράφοις ἄτοπον καὶ ἀλλόκοτον καὶ τεράστιον καὶ τῆς τῶν Ἑλλήνων συνηθείας ἀπεξενωμένον ἀπιστεῖσθαι τοῖς εὖ φρονοῦσι προσήκει μηδὲν ἐντρεπομένοις πίστιν μαρτύρων, οὓς μυριάκις ψευδομένους ἐπ' αὐτοφώρῳ ὥσπερ ἐνταῦθα λήψονται. Ἀλλ' ἦν γοῦν αὐτὸς ὁ Κλήμης ἐψεῦσθαι δοκεῖ ἀντὶ τοῦ Αἰσχύλου τὸν Σοφοκλέα ὀνομάσας. Φαῦλον μὲν τὸ τοιοῦτον πταῖσμα καὶ εὐσύγγνωστον καὶ οὐ σπάνιον, σφαλερὸν γὰρ ἐν τούτοις ἡ μνήμη. Ἀλλ' οὐδὲ τοῦτο ἔμοιγε δοκεῖ ὁ Κλήμης ἡμαρτηκέναι. Ἤδη ποτ' ἤκουσάς τινος οὕτω λέγοντος· κατὰ τὸν κωμικὸν Ἀριστοφάνην, κατὰ τὸν τραγικὸν Εὐριπίδην, ἤ τι τῶν τοιούτων; Οὐκ οἶμαι, οὐ γάρ ἐστιν ἕτερός τις Εὐριπίδης πλὴν τοῦ τραγικοῦ, περὶ οὗ ἄν τις ταῦτ' ἀκούων ἐνθυμηθείη. Καὶ λέγουσι μὲν οὕτω πολλάκις περὶ τῶν ἀφανεστέρων, περὶ δὲ τῶν ἐνδοξοτάτων καὶ κορυφαίων οὐδεὶς ἂν οὕτως εἴποι. Τί οὖν; Ἆρ' οἰώμεθα γεγραφέναι τὸν Κλήμεντα »κατὰ τὸν τραγικὸν Σοφοκλέα." Μῶν οὖν ἕτερός ἦν Σοφοκλῆς, ὃν ἄν τις ταῦτα πεποιηκέναι νομίσειεν; Οὐ δήπου. Ἀλλὰ καὶ τοῦτο δήπου ἴσμεν ἅπαντες ὅτι πολλάκις ὀνόματα κύρια τοῖς βιβλίοις παρεμβέβληται καὶ ἐκ τῶν μετωπίων εἰς τὸ κείμενον παρεισδέδυκε καὶ πάνυ γελοίως ἐνίοτε καὶ ἀνοή-

τως. Παράδειγμα τούτου ἓν ἐκ τῶν τοῦ Κλήμεντος λάμβανε. Γράφεται σελ. 20: »πολλὰ καὶ γαθὰ γένοιτο τῷ τῶν Σκυθῶν βασιλεῖ, ὅσις ποτὲ ἦν, Ἀνάχαρσις.'' Ἀλλὰ χρώμεθα τῷ ὅσις εἶ, ὅσις ποτ' εἶ, ὅσις ποτ' ἐστίν, ὅσις ποτ' ἦν, ὅταν τινὸς ἀγνοῶμεν τοὔνομα. Πῶς οὖν τις τὸ τοῦ τῶν Σκυθῶν βασιλέως ὄνομα ἅμα οὐκ οἶδε καὶ οἶδε; Προσέτι δὲ οὐδ' ἦν βασιλεὺς τῶν Σκυθῶν ὁ Ἀνάχαρσις. Ἤδη καθορᾷς τὸ γεγονός. Τοῦ Κλήμεντος γράψαντος ἐνταῦθα μὲν »ὅσις ποτὲ ἦν,'' ἐκεῖ δὲ »κατὰ τὸν τραγικόν,'' κακόσχολός τις παρέγραψε πλησίον ἐκεῖ μὲν »Σοφοκλέα,'' ἐνταῦθα δὲ »Ἀνάχαρσις,'' εἶτα ταῦτα ἐκ τοῦ μετωπίου εἰς τὸ κείμενον παρεισδεδυκότα τοὺς μὴ σφόδρα προσέχοντας ἡμῶν τὸν νοῦν καὶ εὐλαβουμένους πόρρω τἀληθοῦς ἀποπλανᾷ.

Πολλῶν ἅμα ποιητῶν γνώμας συνήθροισεν ὁ Κλήμης σελ. 574 οὕτω γράφων· »κακὸν οὖν ἦν τι παίδευμ' εἰς εὐανδρίαν

ὁ πλοῦτος ἀνθρώποισιν αἵ τ' ἄγαν τρυφαί,

ἐν τῷ Ἀλεξάνδρῳ ὁ Εὐριπίδης πεποίηκεν. Εἴρηταί γε ἡ πενία σοφίαν ἔλαχε διὰ τὸ συγγενές, ἃ φιλοχρηματίαν δὲ οὐ Σπάρταν μόνον ἀλλὰ καὶ πᾶσαν πόλιν ἔλοι ἄν. οὔκουν μόνον τοῦτο νόμισμα λευκὸς ἄργυρος

ἢ χρυσός ἐστιν ἀλλὰ καρετὴ βροτοῖς,

ὡς φησιν ὁ Σοφοκλῆς.'' Γέμει καὶ ταῦτα παντοδαπῶν σφαλμάτων. Εὐριπίδης μὲν γὰρ ἐν τῷ Ἀλεξάνδρῳ εἶπε·

κακόν τι παίδευμ' ἦν ἄρ' εἰς εὐανδρίαν

ὁ πλοῦτος ἀνθρώποισιν αἵ τ' ἄγαν τρυφαί.

ἐν δὲ τῷ Πολυΐδῳ·

πενία δὲ σοφίαν ἔλαχε διὰ τὸ συγγενές.

οἱ δὲ τὰ τοῦ Εὐριπίδου ἀποσπασμάτια συλλέξαντες κακῶς τὴν τοῦ Στοβαίου γραφὴν ἐνέκριναν »διὰ τὸ δυσυχές.'' Οὐδαμῶς γὰρ τοῖς γενναιοτέροις τῶν Ἑλλήνων καὶ ἀδροῖς τὴν ψυχὴν οἱ σοφοὶ πένητες ὄντες δυσυχεῖν δοκοῦσιν ἀλλὰ μυρίῳ τῶν φαύλων καὶ ἀσυνέτων κἂν ὑπερπλουτῶσιν εὐτυχέστεροι. Ὀρθότατά γε. Διαφυλάξομεν οὖν τὴν τοῦ Κλήμεντος γραφήν, καθάπερ γὰρ ὁ Μένανδρος εἴρηκέ που·

ἆρ' ἐσὶ συγγενές τι λύπη καὶ βίος;

οὕτω καὶ ὁ Εὐριπίδης πάλαι ἀπεφθέγξατο·

πενία δὲ σοφίαν ἔλαχε διὰ τὸ συγγενές.

Τὸν δὲ τοῖς Λακεδαιμονίοις δοθέντα χρησμὸν τίς ἀγνοεῖ·

Ἁ φιλοχρηματία Σπάρταν ὀλεῖ, ἄλλο γὰρ οὐδέν.

φέρεται δὲ ἐν τῷ χρησμῷ παλαιά τις διττογραφία ὀλεῖ καὶ ἕλοι, μόνον δὲ δόκιμον τὸ ὀλεῖ, τὸ δὲ ἕλοι ἡμάρτηται. Ἔχει μέντοι πλείους μάρτυρας καὶ τὸ τοῦ Κλήμεντος ἕλοι ἂν ἐντεῦθεν γέγονεν. Ἀπώλετο γὰρ πάλαι τὸ ὀλῶ, ὀλεῖς, ὀλεῖ, ὡς καὶ τὸ ἑλῶ, ἑλᾷς, ἑλᾷ, καὶ πάντα τὰ τούτοις ὅμοια, ἀντὶ δὲ τούτων ὀλέσω καὶ ἑλάσω πάντες ἔλεγον καὶ τὴν ἀρχαίαν συνήθειαν ἀγνοοῦντες ἐκίνουν. Τὰ δὲ λοιπὰ οὐκ ἔστι τοῦ Σοφοκλέους ἀλλ' Εὐριπίδειαν ἐκ τοῦ Οἰδίποδος·

Οὗτοι νόμισμα λευκὸς ἄργυρος μόνον
καὶ χρυσός ἐστιν, ἀλλὰ χάρετὴ βροτοῖς
νόμισμα κεῖται πᾶσιν, ἣν κτᾶσθαι χρεών.

Τραγικοῦ τινὸς οὐκ οἶδ' ὅτου ῥῆσις διεσώθη σελ. 685, ἥδε·

ἃ δ' ἐκπυθέσθαι τῆς ἐμῆς χρήζεις Φρενὸς
οὔτ' ἂν καταίθων οὔτε κρατὸς ἐξ ἄκρου
δεινοὺς καθιεὶς πρίονας εἰς ἄκρους πόδας
πύθοι' ἂν οὐδ' εἰ δεσμὰ πάντα προσβάλοις,

ἀφόβως ἀνδρειζομένη παρὰ τῇ τραγῳδίᾳ λέγει γυνή." Δύο ἐν τούτοις ἔνεστι σφάλματα, ὧν θάτερον ὁ Πόρσων ἠκέσατο γράφων·

δεινὸν καθιεὶς πρίον' εἰς ἄκρους πόδας,

οἱ γὰρ μέσοι διαπριόμενοι ἐνὶ οἶμαι πρίονι καὶ οὐ πλείοσι δίχα ἐτέμνοντο, καὶ τὸ πρίονας τὴν πρώτην φύσει μακρὰν ἔχον τῷ μέτρῳ πολεμιόν ἐστι. Περίεστι δὲ ἕτερον πταῖσμα ἐν τῷ »εἰ δεσμὰ πάντα προσβάλοις." Ὁ δὲ Ναύκιος ἀντὶ τοῦ προσβάλοις ᾤετο δεῖν γράφειν περιβάλοις καὶ τὴν οὐδενὸς ἀξίαν ταύτην εἰκασίαν εἰς τὸ κείμενον παρέλαβε τὴν τοῦ Πόρσωνος διόρθωσιν οὐ παραλαβὼν ἀληθεστάτην οὖσαν. Πῶς δῆτα ἡ προειποῦσα »οὐδ' εἴ με μέσην διαπρίσειας" ἐπήγαγεν ἂν ψυχρότατα »οὐδ' εἴ με εἰς τὸ δεσμωτήριον ἐμβάλοις;" Τί δὲ βούλεται τὸ πάντα; ἐμοὶ μὲν γὰρ τελέως εἶναι δοκεῖ ἀνόητον. Ἔσφαλται τὸ δεσμά. Γράφε μοι·

οὐδ' εἰ δεινὰ πάντα προσβάλοις,

καὶ ὄψει πάντα ὀρθῶς ἔχοντα, »οὐδ' εἰ διὰ πασῶν τῶν βασάνων διεξέλθοις, φησὶν, οὐδὲν ὧν βούλει μαθεῖν ἐξ ἐμοῦ πεύσει." Τραγικόν ἐστι τὸ δεινὰ προσβάλλειν ὡς τὸ κακὰ προσβάλλειν, οἷον ἐν Ἀποσπ. τῶν ἀδεσπότων παρὰ τῷ Ναυκίῳ 93 σελ. 668:

ὅταν δ' ἁμάρτῃ (ἡ γλῶσσα) πολλὰ προσβάλλει κακά.

'Ολίγον τι ὑποβὰς ὁ Κλήμης Πινδαρικόν τι παρατίθεται σελ. 586, ἔχον οὕτω·

Νέων δὲ μέριμναι σὺν πόνοις εἱλισσόμεναι
δόξαν εὑρίσκουσι· λάμπει δὲ χρόνῳ
ἔργα μετ' αἰθέρα λαμπευθέντα."

Παρέφθαρται, ὡς ὁρᾷς, τὸ λαμπευθέντα. Κακῶς ὁ Βοίκιος ἀερθέντα μετέγραψεν, ὅπερ ὁ Βέργκιος παρέλαβεν. Οὐκ ἔστι τοῦτο διορθοῦν ἀλλὰ παίζειν. Ἐν δὲ τῷ ΛΑΜΠΙΕΤΘΕΝΤΑ κεκρύφθαι νομίζω τὸ λαμπετόωντα καὶ τὴν πρόθεσιν ἀλλάξας μεταγράψαιμ' ἄν·

λάμπει δὲ χρόνῳ ἔργα κατ' αἰθέρα λαμπετόωντα.

Τὸ δὲ Δωρικὸν εὑρίσκοντι μὴ θαύμαζε εἰ εἰς τὸ κοινὸν μετέπεσεν, ἔθος γάρ τι τοῦτ' ἔχουσιν οἱ ἀντιγραφεῖς τὰ ἐκ τῶν διαλέκτων, μάλιστα δὲ τῆς Δωρίδος, εἰς τὰ κοινότερα μετασχηματίζειν. Ἐν παρόδῳ ἕν τι τούτων σημειώσομαι. Χρῆται ὁ Κλήμης σελ. 518· Φιλολάου τοῦ Πυθαγορείου μαρτυρίᾳ τῇδε: »μαρτυρέονται δὲ καὶ οἱ παλαιοὶ θεολόγοι τε καὶ μάντεις ὡς διά τινας τιμωρίας ἃ ψυχὰ τῷ σώματι συνέζευκται καὶ καθάπερ ἐν σάματι τούτῳ τέθαπται." Οἱ δὲ παλαιοὶ θεολόγοι ταῦτα οὐ μαρτυροῦνται ἀλλὰ μαρτυροῦσι. Γραπτέον οὖν Δωριστὶ μαρτυρέοντι, καὶ μάντιες οὐχὶ μάντεις.

Βακχυλίδου τις ῥῆσις λελωβημένη φέρεται σελ. 310: »οὐ γὰρ ὑπόκλοπον φορεῖ βροτοῖσι φωνάεντα λόγον ἔσται λόγος σοφίᾳ, ὥς φησι Βακχυλίδης." Ὁρῶ δὲ τοὺς τὰ τοῦ Βακχυλίδου λείψανα ἀναλέξαντας τὸ »ἔσαι λόγος" ἅτε δὴ τελέως ἀδικουμένου ὂν τολμηρῶς ἐξαλείψαντας. Οὐκ ἔστι δὲ πρὸς ἰατροῦ σοφοῦ τέμνειν καὶ κάειν ἐξὸν διαίτῃ καὶ φαρμάκῳ τὸ ἐνοχλοῦν θεραπεύειν. Μήποτ' οὖν ἔγραψεν ὁ Βακχυλίδης: »οὐ γὰρ — λόγον ἃ τέλειος σοφίᾳ;

Δύο ἐκ τοῦ Εὐριπίδου ῥήσεις προφέρεται ὁ Κλήμης σελ. 592: »Εὐριπίδης ποικίλως γράφει ποτὲ μέν·

πᾶσα γὰρ ἀνδρὸς κακίων ἄλοχος
κἂν ὁ κάκιστος
γήμῃ τὴν εὐδοκιμοῦσαν.

ποτὲ δέ·

πᾶσα γὰρ δούλη ἐστὶν ἀνδρὸς ἡ σώφρων γυνή,
ἡ δὲ μὴ σώφρων ἀνοίᾳ τὸν ξυνόντ' ὑπερφρονεῖ."

Ἐν ἀμφοτέροις τὸ μέτρον ἐσφαλμένον ὁρᾷς. Ἐν μὲν γὰρ τοῖς ἀναπαίστοις τὸ κακίων τὴν μέσην ἔχον ἀεὶ ἀττικιστὶ ἐκτεταμένην τῷ μέτρῳ ἀνάρμοστόν ἐστιν, οἱ δὲ τροχαῖοι σκάζουσιν ἐν τῷ »δούλη ἐστὶν ἀνδρός.“ Καὶ τοῦτο μὲν ῥᾷστα θεραπεύεται, ἀντὶ γὰρ τοῦ ἐστὶν ἡ τραγικὴ λέξις τίθησι τὸ πέφυκεν, ὥσπερ ἡ ἐπικὴ τὸ τέτυκται[1]). Οὐκοῦν οὕτως ἀναγνωστέον·

πᾶσα γὰρ δούλη πέφυκεν ἀνδρὸς ἡ σώφρων γυνή.

Ὡσαύτως ἐν τοῖς ἀναπαίστοις δύο ἰσοδύναμα συγκέχυται, γραπτέον γάρ:

πᾶσα γὰρ ἀνδρὸς χείρων ἄλοχος.

Χαρίεσσά τις ῥῆσις Εὐριπίδου σώζεται ἡμῖν σελ. 642 οὕτως ἔχουσα:

Χρύσεαι δή μοι πτέρυγες περὶ νώτῳ
καὶ τὰ Σειρήνων ἐρόεντα πέδιλα
ἁρμόζεται,
βάσομαί τ' ἐς αἰθέρα πολὺν
ἀερθεὶς Ζηνὶ προσμίξων.

ἐν τούτοις οὔτε ἡ λέξις καλῶς ἔχει οὔτε τὸ μέτρον. Γράφε μοι οὕτω πως:

Χρύσεαι δή μοι πτέρυγες περὶ νώτῳ
καὶ τὰ Σειρήνων πτερόεντα πέδιλα,
βάσομαί τ' ἐς αἰθέρα πουλὺν ἀερθεὶς
Ζηνὶ προσμίξων.

τούτων τῶν στίχων ἕκαστος ἐκ τῶν αὐτῶν σύγκειται ποδῶν, ὡς ὁρᾷς, ἔκ τε τροχαϊκοῦ μονομέτρου (διποδίας τροχαϊκῆς) καὶ δακτυλικοῦ τριμέτρου εἰς σπονδεῖον λήγοντος. Ἀντὶ δὲ τοῦ ἐρόεντα εὐστόχως ὁ Γρώτιος πτερόεντα μετέγραψε, τὸ δὲ ἁρμόζεται ἀπειροκάλως προσκείμενον ἐγὼ ἐξήλειψα, τὸ δὲ πουλὺν ἀντὶ τοῦ πολύν οὐδενὸς λόγου προσδεῖν ἡγοῦμαι.

Γλαφυρωτάτους τινὰς στίχους Εὐριπιδείους ἡμῖν διέσωσεν ὁ Κλήμης τοῦσδε σελ. 621.

---

[1]) Γράφεται παρὰ τῷ Κλήμεντι (σελ. 692): »Ὀρφεὺς ὁ θεολόγος εἶπεν·

Εἷς ἐς' αὐτοτελής, ἑνὸς ἔκγονα πάντα τέτυκται,
[ἢ πέφυκε, γράφεται γὰρ καὶ οὕτως].“ Μήτι οἴει τὸν βέλτιστον Κλήμεντα αὐτὸν ταῦθ' ἡμῖν προστεθεικέναι;

»σοὶ δ' ἔγωγε καὶ νοσοῦντι συννοσοῦσ' ἀνέξομαι
καὶ κακῶν τῶν σῶν συνοίσω κοὐδὲν ἔσται μοι πικρόν.
μετὰ γὰρ τῶν φίλων εὐτυχεῖν τε χρή· τί γὰρ δὴ τὸ φίλον ἄλλο πλὴν τόδε;"

Ὁ τὰ τοῦ Εὐριπίδου ἀποσπασμάτια καὶ τὰ λεπτότατα ἐπιμελῶς συνειλοχὼς Ναύκιος σελ. 512, προελθὼν μέχρι τοῦ »κοὐδὲν ἔσται μοι πικρόν." τἄλλα ὡς δὴ τοῦ Κλήμεντος ὄντα παρέλιπεν. Οὐκ ἔστι δὲ, ἀλλ' Εὐριπίδεια καὶ ταῦτα, ὧν τὰ πρῶτα οὐχ ὁλόκληρα·

μετὰ γὰρ τῶν φίλων (τὰ πάντα δεῖ φέρειν, καὶ δυσυχεῖν)
εὐτυχεῖν τε χρή· τί γὰρ δὴ τὸ φίλον ἄλλο πλὴν τόδε;

Οὕτω γάρ πως τὰ ἀπολωλότα ἀναπλωρητέα μοι δοκεῖ. Ὅτι δὲ καὶ τὰ τελευταῖα Εὐριπίδειά ἐστι πᾶς ὁ ἔχων ὦτα ἀκούσεται.

»Εὖ δὲ καὶ ἡ αὐτὴ δικαιολογουμένη πρὸς τὴν Ἀθηνᾶν ἐπὶ τῷ χαλεπαίνειν αὐτῇ τετοκυίᾳ ἐν τῷ ἱερῷ λέγει·

σκῦλα μὲν βροτοφθόρα
χαίρεις ὁρῶσα κτέ."

σελ. 481. ὁ ταῦτα ἐκδεδωκὼς τὸ δὴ λεγόμενον

οἴνου παρόντος ὄξος ἠράσθη λαβεῖν,

οὐ γὰρ ἡ αὐτὴ οὕτω δικαιολογεῖται, ἀλλ' ΗΑΤΓΗ (ἡ Αὔγη) ἡ τὸν Τήλεφον τετοκυῖα, ὡς πάλαι δὴ ὁ Γρώτιος διώρθωκε. Χρήσιμον δὲ τοῖς νεωτέροις τὰ τοιαῦτα ἀκριβῶς ἐπισκοπεῖν. Ἐὰν δέ τις ταῖς τῶν παλαιοτέρων βιβλίων γραφαῖς προσέχῃ τὴν γνώμην, εὑρήσει ἀπειράκις τὸ Γ καὶ τὸ Τ συγχυθέντα, οὔτε γὰρ εὐδιάγνωστά ἐστι καὶ τῆς διανοίας τῶν γραφομένων οἱ μεταγράφοντες οὐδὲν φροντίζουσι. Τί δὲ τοῖς μεταγράφουσιν ἐγκαλοῦμεν ὅπου γε αὐτὸς ὁ Ἡσύχιος κατὰ στοιχεῖον γράφων ἐν τῷ Τ κατεχώρισε Τελγή ἀντὶ τοῦ Γέλγη, καὶ Τόρτυρα ἀντὶ τοῦ Γόργυρα, καὶ ἕτερα τοιαῦτα. Πλειστάκις ὄψει τὸ αὐγή εἰς τὸ αὐτή μεταπεπτωκὸς, ὡς αὐτὰ πυρός, ἀντὶ τοῦ αὐγά. Χρησιμωτάτου δ' ἔντος τοῦ τὰς οὕτω φανερὰς καὶ ἐναργεῖς τῶν διορθώσεων δεῖξαι τοῖς νέοις τοῖς εἰς τὴν λόγων κρίσιν εὐφυεστέροις μέλλω μὲν εἰσαῦθις πλῆθος τῶν τοιούτων αὐτοῖς προθήσειν καὶ ἐκλέξεσθαι τὰς περιφανεστάτας διορθώσεις τοῖς τῶν κριτικῶν κορυφαίοις ἐξευρημένας, νῦν δ' ἓν καὶ δεύτερον οἷον δεῖγμα ἐκ τῶν τοῦ Κλήμεντος αὐτοῖς παραθήσω. Φέρεται ἐν τοῖς ἀντιγράφοις σελ. 340: »ὃς δ' εὐγλωσσίαν εἰ καὶ σοφός," ὁ δὲ Βαλκενάριος τἀληθὲς συνεῖδε »ὃς δ' εὐγλωσσίᾳ

νικᾷ (ΝΕΙΚΑΙ) σοφός,'' καὶ πάλιν σελ. 115 ὁ Ἀμφίων πρὸς τὴν Ἀντιόπην τάδε λέγει·

οὐδὲ γὰρ λάθρᾳ δοκῶ
φωτὸς κακούργου σχήματ' ἐκμιμούμενον
σοὶ τήνδ' ἐς εὐνὴν ὥσπερ ἄνθρωπον μολεῖν.

τὸ δὲ τήνδε ἀδιανόητον ποιεῖ τὸ λεγόμενον. Εὐσοχώτατα δὲ ὁ αὐτὸς Βαλκεναίριος ἔτυχε τοῦ σκοποῦ διορθώσας·

σοὶ Ζῆν' ἐς εὐνὴν ὥσπερ ἄνθρωπον μολεῖν.

Ἰσέον δὲ ὅτι τοῦ Ζ καὶ τοῦ Τ ὁ τύπος ἐν τοῖς παλαιοῖς βιβλίοις σχεδὸν οὐδὲν διαφέρει, τὸ ΖΗΝ οὖν εἰς ΤΗΝ μεταπεσὸν εἶθ' ὑπό τινος εἰς ΤΗΝΔ παραδιωρθώθη.

Λανθάνει σίχος τις Πυθαγορικὸς σελ. 681 ἐν τούτοις: »καὶ ἡ Πυθαγόρου συνουσία — ἀκουσματικοὺς τοὺς πολλοὺς καί τινας μαθηματικοὺς ἑτέρους καλοῦσα τοὺς γνησίους ἀνθαπτομένους τῆς φιλοσοφίας ἀλλὰ τὸ μὲν φάσθαι, τὸ δὲ κεκρυμμένον εἶναι πρὸς τοὺς πολλοὺς ᾐνίσσετο.'' Τὰ μὲν ἄλλα τοῦ Κλήμεντος, Πυθαγορείου δέ τινος ὁ σίχος·

ἀλλὰ τὸ μὲν φάσθαι, τὸ δὲ (καὶ) κεκρυμμένον εἶναι.

Ἔτι δὲ πεισέον τῷ Συλβουργίῳ ἀντὶ τοῦ γνησίους ἐν τῷ »τοὺς γνησίους ἀνθαπτομένους τῆς φιλοσοφίας'' ἄρισα διορθοῦντι γνησίως.

»Ὁ τοίνυν μὴ πειθόμενος τῇ ἀληθείᾳ — δυσδαίμων ἄθλιός τε καὶ κατὰ τὸν Εὐριπίδην·

ὃς τάδε λεύσσων θεὸν οὐχὶ νοεῖ,
μετεωρολόγων δ' ἑκὰς ἔρριψε
σκολιὰς ἀπάτας, ὧν ἀτηρὰ
γλῶσσ' εἰκοβολεῖ περὶ τῶν ἀφανῶν
οὐδὲν γνώμης μετέχουσα.''

σελ. 752. Καλὰ μὲν ταῦτα καὶ λαμπρὰ, ἀλλ' ὁ ἐπισήσας τὴν διάνοιαν εὐθὺς γνώσεται ὅτι ἀσύγκλωστά ἐστι καὶ κακῶς συντεταγμένα. Τί δὲ δεῖ μακρῶν λόγων; Ἔσφαλται τὸ ὅς, μᾶλλον δὲ ὑπὸ τοῦ Κλήμεντος ἡ παλαιὰ γραφὴ μετεβλήθη τὰ τοῦ ποιητοῦ τοῖς ἑαυτοῦ προσαρμόζοντος. Ἀναγνωριεῖς, οἶμαι, τὸν ἐπὶ σκηνῆς φιλόσοφον ἐν τοῖσδε·

Τίς τάδε λεύσσων θεὸν οὐχὶ νοεῖ,
μετεωρολόγων θ' ἑκὰς ἔρριψε
σκολιὰς ἀπάτας; κτέ.

» Ποσείδιππος·

Οὐδεὶς ἀλύπως τὸν βίον διήγαγεν
ἄνθρωπος ὢν οὐδ' ἄχρι τοῦ τέλους πάλιν
ἔμεινεν εὐτυχῶν."

σελ. 744. ταῦτα, εἴ τι τῷ Κλήμεντι πειθόμεθα, ὁ Ποσείδιππος κέκλοφεν ἐκ τῶν Διφίλου τοῦ πρότερον εἰρηκότος·

εὐμετάβολος (γάρ) ἐστιν ἀνθρώπων βίος.

Πρῶτον μὲν κλοπῆς ἀπολύσωμεν τὸν ἄνδρα γελάσαντες, ἔπειτα δ' ἐπισκεψώμεθα τὰ ὑπ' αὐτοῦ εἰρημένα. Οὐδὲν ἔοικεν, ὡς ὁρᾷς, τοῖς τοῦ Διφίλου. Ὁ μὲν γὰρ εἶπεν ὅτι ὁ τῶν ἀνθρώπων βίος εὐμετάβολος εἴη καὶ οὐδέποτ' ἐν ταὐτῷ μένοι, ὁ δ' ἀγανακτεῖ εἰ μηδεὶς διατελεῖ εὐτυχὴς ὢν καὶ ζῶν ἄνευ λύπης. Ἀλλ' ἔσφαλται τὰ τοῦ Ποσειδίππου καὶ διορθώσεως δεῖται. Βραχύ τι πρὸς τὴν διόρθωσιν συμβάλλεται ὁ Στοβαῖος, ἐν τῷ Ἀνθολογίῳ (ΛΘ. 14) τάδε προφερόμενος·

ἄνθρωπος ὢν
οὐδεὶς ἄλυπος τὸν βίον διήγαγεν
οὐδὲ μέχρι τέλους ἔμεινεν εὐτυχῶν.

Ἐντεῦθεν τοίνυν τὸ ἄλυπος ἐγκρινοῦμεν ἀντὶ τοῦ ἀλύπως, καὶ τοῦ μέτρου ἕνεκα τὸ »οὐδὲ μέχρι" ἀντὶ τοῦ »οὐδ' ἄχρι." Τὸ δὲ μέγιστον σφάλμα ἀδιόρθωτον διαμένει. Τὸ »πάλιν" (τουτέστιν ἐκ τοὐναντίου) ἐπὶ τἀληθὲς ἡμᾶς ὁδηγήσει. Γραπτέον γὰρ ὧδέ πως·

οὐδεὶς ἄλυπος τὸν βίον διήγαγεν
ἄνθρωπος ὢν οὐδὲ μέχρι τοῦ τέλους πάλιν
διέμεινεν ἀτυχῶν.

νῦν δὴ φαίνεται τῷ Διφίλῳ τὰ αὐτὰ λέγων ὁ Ποσείδιππος. Εὐμετάβολός ἐστιν ὁ τῶν ἀνθρώπων βίος. Οὐδεὶς ζῇ μὴ λυπούμενος. Οὐδεὶς δὲ ἀτυχῶν διατελεῖ, ἀλλ' ἐξ ἀτυχίας πάλιν εὐτυχοῦμεν. Ἔγραψα δὲ διέμεινεν τουτέστιν διετέλεσε, τοῦτο γὰρ ὁ νοῦς τῶν λεγομένων ἀπαιτεῖ, ὅτι δὲ ἐν τοῖς ἀντιγράφοις χαλεπώτατον τὸ ἀ καὶ τὸ εὐ διαγιγνώσκειν ἐδείξαμεν ἐν τοῖς πρόσθεν ἐν τῷ εὐθανασίᾳ καὶ ἀθανασίᾳ, καὶ ἴσως διὰ πλειόνων δείξομεν ἐν τοῖς ἑξῆς.

Ἐκ τῶν Ἐμπεδοκλέους τινὰ παρατίθεται ὁ Κλήμης σελ. 754 οὕτως: »Ἐμπεδοκλῆς ὁ Ἀκραγαντῖνος — αὐτὸς ἐν τοῖς ἔπεσι γράφει·

παύσεις δ' ἀκαμάτων ἀνέμων μένος, οἵτ' ἐπὶ γαῖαν

ὀρνύμενοι θνητοῖσι καταφθινύθουσιν ἀρούρας·
καὶ πάλιν, εὖτ' ἐθέλῃσθα, παλίντινα πνεύματα θήσεις.

παρακολουθεῖν τε αὐτῷ ἔλεγον τοὺς μὲν μαντοσυνῶν κεχρημένους, τοὺς δ' ἐπὶ νοῦσον σιδηρὸν δὴ χαλεποῖσι πεπαρμένους." Λύτὰ τοῦ Ἐμπεδοκλέους τὰ ἔπη διέσωσεν ἡμῖν ὁ Λαέρτιος Διογένης II. § 62 οὕτως ἔχοντα·

ἀνδράσιν ἠδὲ γυναιξὶ σεβίζομαι, οἱ δ' ἅμ' ἕπονται
μυρίοι, ἐξερέοντες ὅπῃ πρὸς κέρδος ἀταρπός,
οἱ μὲν μαντοσυνέων κεχρημένοι, οἱ δ' ἐπὶ νούσων
παντοίων ἐπύθοντο κλύειν εὐηκέα βάξιν.

ὧν τὰ τελευταῖα, ὡς ὁρᾷς, ἔσφαλται καὶ τελέως ἀδιάνοητά ἐστιν. Ἡ γνησία τοῦ λαμπροφώνου ποιητοῦ λέξις ἐν τοῖς Κλήμεντος ἔνεσιν ἀλλὰ κακῶς παρεφθαρμένη. Ὑποψία τίς μοι ἐγένετο μήποτε ὧδε δεῖ γράφειν· »τοὺς δὲ νόσοισι Δηρὸν δὴ χαλεπῇσι πεπαρμένους." Οὕτω δὲ καὶ φανερὸν γίγνεται ὁπόθεν ἡμῖν τὸ σιδηρὸν παρεισέδυ, δῆλον γὰρ ὅτι ἐκ τοῦ NOCOICIΔΗΡΟΝ. Ἅμα δὲ καὶ τοῦτο νῦν φανερὸν γέγονεν ὅτι δεῖ γράφειν »παρακολουθεῖν τε αὐτῷ ἔλεγεν" αὐτὸς δῆλον ὅτι ὁ Ἐμπεδοκλῆς, οὐχὶ ἔλεγον.

»Χορὸς δ' ἀναύδων ἰχθύων ἐπερρέθη, ἡ Μοῦσα ἡ τραγικὴ εἴρηκέ που." σελ. 781. ὅ, τι ποτ' εἶπεν ὁ τραγικὸς ὁ Δειπνοσοφιστὴς διδάξει (σελ. 277 B) διὰ τούτων· »κατὰ γὰρ τὸν Σοφοκλέα

χορὸς δ' ἀναύδων ἰχθύων ἐπερρόθει
σαίνουσιν οὐραίοισιν,

οὐ τὴν κεκτημένην, ἀλλὰ τὰς λοπάδας." Ὀρθῶς τὸν δεύτερον στίχον οὕτως ἔχειν ἔκριναν·

σαίνοντες οὐραίοισι τὴν κεκτημένην.

ἐξ ἀλὸς ἀναδύντες οἱ ἰχθύες τὴν Ἀμφιτρίτην περισκιρτῶντες ἔσαινον ταῖς οὐραῖς.

»Καί μοι δοκῶ κομπώδους μὲν εἶναι ψυχῆς καύχημα πλὴν εὐσυνειδήτου ἐπιφθέγγεσθαι τοῖς κατὰ περίστασιν συμβαίνουσι

πρὸς ταῦθ' ὅ τι χρὴ καὶ παλαμᾶσθαι.
τὸ γὰρ εὖ μετ' ἐμοῦ καὶ τὸ δίκαιον
σύμμαχον ἔσαι,
κοὐ μή ποθ' ἁλῶ καλὰ πράσσων."

σελ. 797. Περιβόητα τὰ Εὐριπίδεια ταῦτα τὰ πάνυ χαριέντως τῷ Ἀριστοφάνει παρῳδημένα. Ἐν δὲ τοῖς τοῦ Κλήμεντος ἔστιν ἃ παρέφθαρται, καὶ πρῶτον μὲν τὸ παλαμᾶσθαι. οὕτω γὰρ ἔχει τἀληθές·

πρὸς ταῦθ' ὅ τι χρὴ καὶ παλαμᾶσθων
(καὶ πᾶν ἐπ' ἐμοὶ τεκταινέσθων).

ἔπειτα δὲ καταγελάσως τὰ »κακά" εἰς τοὐναντίον περιέσηκε. Φανερὸς γάρ ἐσιν ὁ ποιητὴς οὕτως εἰρηκώς

κοὐ μή ποθ' ἁλῶ κακὰ πράσσων,

οἱ δὲ οὐδὲν ἐνθυμούμενοι καλά ἔγραψαν καὶ τὸν ποιητὴν μωρολογοῦντα ἀπέδειξαν. Εἶδον δὲ καὶ ἀλλαχοῦ τὰ καλά καὶ τὰ κακά συγχυθέντα καὶ τὴν τῶν Φραζομένων διάνοιαν παντελῶς οὕτω διεφθαρμένην. Φέρεται παρὰ τῷ Κλήμεντι (σελ. 721) ῥῆσίς τις ὡς Διφίλου τοῦ κωμικοῦ (ἔσι δὲ ὑπὸ τοῦ 'Αριστοβούλου μοχθηρῶς πεπλασμένη) περιέχουσα καὶ τάδε·

'Ορᾶθ' ὅσοι νομίζετ' οὐκ εἶναι θεόν,
ἔσιν γάρ, ἔσιν· εἰ δέ τις πράττει κακῶς
κακὸς πεφυκὼς τὸν χρόνον κερδανάτω.
χρόνῳ γὰρ οὗτος ὕσερον δώσει δίκην.

Μάχεται ταῦτα ἀλλήλοις, ὡς ὁρᾷς, καὶ γραπτέον »εἰ δέ τις πράττει καλῶς κακὸς πεφυκώς." Εἴ τις κακὸς ὢν εὐτυχεῖ, φησί. Διώρθωσε μὲν καὶ τοῦτο πάλαι ὁ Βαλκεναίριος περὶ τοῦ 'Αριστοβούλου γράφων σελ. 2, οὐδεὶς δὲ τῇ διορθώσει ἐχρήσατο. Χωρὶς δὲ τούτων ἐν τοῖς τοῦ Κλήμεντος γραπτέον »καί μοι δοκεῖ" οὐχὶ »δοκῶ."

Τὸ δὲ »εὐσυνειδήτου" καὶ μετ' ὀλίγα »ἡ εὐσυνειδησία" τοῦ πονηροῦ κόμματός ἐσι παρὰ τὴν τῆς 'Ελληνικῆς γλώσσης ἀνακολογίαν παρακεχαραγμένα, οἷόν ἐσι τὸ εἴδησις καὶ συνείδησις καὶ πεπόθησις καὶ ἐγρήγορσις καὶ οἰκτειρήσεις (σελ. 149) ἀντὶ τοῦ οἰκτιρμοί, καὶ ἕτερα πολλὰ μοχθηρὰ καὶ παρακεκομμένα. 'Ομολογεῖ δὲ αὐτὸς ὁ Κλήμης τὰ περὶ τὴν λέξιν οὐχ "Ελλην ἀλλὰ βάρβαρος εἶναι σελ. 818· »'Επεὶ τοίνυν δύο εἰσὶν ἰδέαι τῆς ἀληθείας τά τε ὀνόματα καὶ τὰ πράγματα, οἱ μὲν τὰ ὀνόματα λέγουσιν οἱ περὶ τὰ κάλλη τῶν λόγων διατρίβοντες οἱ παρ' "Ελλησι φιλόσοφοι, τὰ πράγματα δὲ παρ' ἡμῖν ἐσὶ τοῖς βαρβάροις." Τεύξεται οὖν συγγνώμης ἐάν τι βάρβαρος ὢν περί τι τῶν τοιούτων πταίσῃ, ἀλλ' ὅπως μηδεὶς αὐτῷ πείσεται μηδὲ μάρτυρι χρήσεται ὅταν περὶ τοῦ καλῶς καὶ καθαρῶς ἑλληνίζειν ὁ λόγος ᾖ.

Πολλὰ καὶ χαρίεντα ὁ Κλήμης συνέλεξε σελ. 842 καὶ ἑξῆς κατατρέχων τῆς τῶν πάλαι 'Ελλήνων δεισιδαιμονίας, ἐν δὲ τούτοις

καὶ τάδε· »ὁ κωμικὸς δὲ Φιλήμων καὶ τὰ τοιαῦτα κωμῳδεῖ· ὅταν ἴδω (φησὶ) παρατηροῦντα τίς ἔπταρεν
ἢ τίς ἐλάλησεν ἢ τίς ἐστιν ὁ προϊών
σκοποῦντα, πωλῶ τοῦτον εὐθὺς ἐν ἀγορᾷ.''
τούτων τὸν πρῶτον εἶχον ὁ Μεινέκιος οὕτω διεσκεύακεν·
ὅταν δὲ παρατηροῦντ' ἴδω τίς ἔπταρεν.
εἰ δ' οὕτως εἶχε τἀληθὲς οὐκ ἂν ἐπήγαγεν ὁ Φιλήμων »πωλῶ τοῦτον'' δεικτικῶς, ἀλλ' »αὐτόν.'' Ἐχρῆν δὲ καὶ τὸ »τινὰ'' προσκεῖσθαι, ὅταν ἴδω τινὰ παρατηροῦντα. Ἔσφαλται τὸ ΟΤΑΝ, καὶ ἀναγνωσέον ὧδε·
ὃν ἂν δὲ παρατηροῦντ' ἴδω τίς ἔπταρεν
— πωλῶ τοῦτον εὐθὺς ἐν ἀγορᾷ.
οὕτω γὰρ τοῖς Ἀττικοῖς τὰ τοιαῦτα συντάττειν ἔθος. Περὶ τῶν ἑαυτοῦ δούλων φησί τις: ὃν ἂν δεισιδαίμονα ὄντα αἴσθωμαι τοῦτον εὐθέως πωλῶ. Ἔτι δὲ ἀντὶ τοῦ προϊών γράφε προσϊών. Πολυπραγμονοῦσι γὰρ οἱ δεισιδαίμονες οὐχ ὅστις προέρχεται θύραζε, ἀλλ' ὅστις αὐτοῖς προσέρχεται, διὰ τὸ ἐκ τῶν ἀπαντώντων οἰωνίζεσθαι. Μέμνησαί που τῶν ἐν τοῖς τοῦ Ξενοφῶντος Ἀπομνημονεύμασιν (Α. α. § 2). Ἐν δὲ τοῖς πλησίον ἀντὶ τοῦ »ὅτι οὕτω πεινῶσα τὰ σὰ οὐκ ἔφαγε τέκνα'' γράφε »οὐ κατέφαγε,'' καὶ δὶς τὸν ΑΝ πρόσθες: »τοῦτο γὰρ (ἂν) ἦν θαυμαστόν,'' καὶ »ἦν γὰρ (ἂν) παραδοξότερον ἐκεῖνο,'' καὶ περίγραφε τὴν πρόθεσιν ἐν τῷ »εὗρε τὸν ἔφιν [ἐν] τῷ ὑπέρῳ περιειλημένον.''

»Οὕτω τοι καὶ ὁ Κωμικὸς ἔλεγεν
ὡς χαρίεις ἐστὶν ἄνθρωπος ἐς' ἂν ἄνθρωπος ᾖ.''
σελ. 916. ''Οτι μὲν τἀληθὲς οὕτως ἔχει
ὡς χαρίεν ἔς' ἄνθρωπος, ὅταν ἄνθρωπος ᾖ.
ἀναντίλεκτον καὶ σαφές, ἄξιον δ' ἐν τούτῳ τῷ στιχιδίῳ τὴν τῶν ἀντιγράφων πίστιν, μᾶλλον δὲ ἀπιστίαν, κατανοῆσαι πρὸς τοὺς τοῖς ἀντιγράφοις λίαν πιστεύοντας καὶ τοῖς τὰς παλαιὰς γραφὰς κινοῦσι μαχομένους. Φέρεται ἐν ταῖς μονοστίχοις γνώμαις στιχ. 562
ὡς χαρίεις ἐστὶν ἄνθρωπος ὅταν υἱὸς ᾖ.
πρὸς ὃν ὁ Μεινέκιος τάδε παρατίθεται:
»Ἐτυμολ. Μέγ. σελ. 824, 11:
ὡς χαρίσοιτ' ἄνθρωπος ἀνθρώπεσσι.
Στοβ. Ἀνθολ. Ε. 11:

ἦ χαρίεν ἔς' ἄνθρωπος ἂν ἄνθρωπος ἦ.

καὶ ἐκ τοῦ ῥήτορος Ἀλεξάνδρου:

χαρίεν ἐστ' ἄνθρωπος ὅστ' ἄνθρωπος ἦ."

ἐγὼ δὲ τὸ σιχίδιον εὗρηκα καὶ παρὰ τῷ Γαληνῷ ἐν τῷ Περὶ κρισίμων ἡμερῶν (Γ. σελ. 431 ἐκδ. Βασ.) »τοιοῦτον δ' ἐστὶ καὶ τὸ παρὰ τῷ Κωμικῷ

καὶ σπάνιόν ἐστ' ἄνθρωπος ὅτ' ἄνθρωπος."

ὁρᾷς; πλὴν τοῦ »ἄνθρωπος" οὐδὲ ἓν ῥῆμα ἄνευ κακοῦ διέφυγε, καὶ ταῦτα ἐν ἰαμβείῳ, οὗπερ ἥ τε διάνοια καὶ ἡ λέξις σαφέστατα καὶ γνώριμα πᾶσι. Τὸ δὲ πάντων γελοιότατον »ὅταν υἱὸς ἦ" οὕτως, οἶμαι, γέγονε. Τὸ υἱός γράφεται ΥϹ, διὰ ὄψει ὗς — υἱὸς ἀνοήτως συγχυθέντα. Ἐγέγραπτο δὲ ΟΤΑΝΟϹΗΙ (ὅτ' ἄνθρωπος ἦ), ὁ δὲ μεταγράφων τὸ »ὅταν ΟϹ ἦ" οἰηθεὶς ὁρᾶν τὸ καλὸν τοῦτο »ὅταν υἱὸς ἦ" ἡμῖν ἔγραψε. Πιστευέτω δῆτα τοῖς τοιούτοις μάρτυσιν ὁ βουλόμενος, ἐγὼ δ' ἀεί ποτε καὶ ἐμαυτῷ καὶ τοῖς ἄλλοις ἅπασι παραινέσαιμ' ἂν τὸ Ἐπιχάρμειον·

Νᾶφε καὶ μέμνασ' ἀπιστεῖν, ἄρθρα ταῦτα τῶν Φρενῶν.

Ὥσπερ ἐν τοῖς τοῦ Κλήμεντος πολλάκις, ὡς ἐρράκαμεν, ποιητικά τινα διασίλβει, οὕτω καὶ ἐν ἄλλοις πολλοῖς, ἐάν τις σφόδρα τὸν νοῦν προσέχῃ, τοιαῦτά τινα καλλωπίσματα τοῦ πεζοῦ λόγου ὑποκεκρυμμένα εὑρήσει. Ἀναγιγνώσκων νυνδὴ τὴν τοῦ Εὐσεβίου Προπαρασκευὴν ἐνέτυχον τῶν τοιούτων τινί, ὅπερ ἀδοῦ πάρεργον σημειώσασθαι ἄξιον. Κεῖται τὰ τοῦ Εὐσεβίου σελ. 541. Β. Θέα ὅπως καὶ ὁ Πλάτων τοιαῦτά τινα ᾐνίξατο διὰ τῆς πρὸς Διονύσιον ἐπιστολῆς λέγων· Φραστέον δή σοι δι' αἰνιγμῶν ἵν' ἄν τι δέλτος ἢ πόντου ἢ γῆς ἐν πτυχαῖς πάθῃ ὁ ἀναγνοὺς μὴ γνῷ. κτέ." Τὰ αὐτὰ ἐκ τῆς τοῦ Πλάτωνος ἐπιστολῆς παρατίθεται καὶ ὁ Κλήμης σελ. 685 πλὴν ὅτι γράφει »δι' αἰνιγμάτων." κρεῖττον δὲ καὶ ἀττικώτερον τὸ »δι' αἰνιγμῶν." Πρῶτον ἁπάντων τὸ βαρβαρώτατον τοῦτο Θέα διορθώσομεν. Ταχυγραφικῶς γὰρ γράφεται θε' ἀντὶ τοῦ θέασαι, ὅπερ ἀγνοοῦντές τινες πολλάκις ἡμῖν ἐν τοῖς τοῦ Εὐσεβίου τὸ Σκυθῶν ἄξιον τοῦτο θέα ἔγραψαν, οἷον σελ. 150 D. »τούτων δὲ οὕτως ἐχόντων θέα δὴ λοιπὸν ὁποῖα ἰσορεῖ," καὶ ἀλλαχοῦ. Τὰ δὲ τοῦ Πλάτωνος εὑρήσεις ἐν τῇ δευτέρᾳ ἐπιστολῇ σελ. 312 D. Ὅτι δὲ αἱ τοῦ Πλάτωνος Φερόμεναι ἐπιστολαὶ σοφιστοῦ τινὸς οὐκ ἀκόμψου καὶ τὴν ἑρμηνείαν γλαφυρωτέρου παίγνιά

ἐσι [1]) νῦν μὲν οὐδεὶς τῶν Κριτικῶν ἀγνοεῖ, τότε δὲ πάντες ὡς τοῦ Πλάτωνος οὔσας ὁμολογουμένως ἀνεγίγνωσκόν τε ἐπιμελῶς καὶ ταῖς ἐξ αὐτῶν μαρτυρίαις ἀνυπόπτως ἐχρῶντο. Οὐκ ἀκούεις δὲ ἐν τούτοις τραγικοῦ τινὸς σεμνῶς πάνυ τάδε λέγοντος·

ἵν' ἦν τι δέλτος ἐν πτυχαῖς πόντου πάθη.

ἀντὶ τοῦ· ἐάν πως ἡ ἐπιστολὴ ἐν τῇ θαλάττῃ ἀπόληται. Ἢ δοκεῖ σοι σοφιστὴς ἀττικιστὶ, οὐ μόνον ἀττικῶς, δυνάμενος γράφειν καὶ τὴν τοῦ Πλάτωνος καλλιέπειαν ἐπιτυχῶς μιμησάμενος ἀντὶ τοῦ »ἡ ἐπιστολή" εἰπεῖν ἂν »δέλτος" καὶ »ἐν πόντου πτυχαῖς" ἀντὶ τοῦ »ἐν τῇ θαλάττῃ;" Ἀτοπώτατον μέντἂν εἴη. Οὐ μὲν οὖν ἀλλ' Εὐριπίδειόν τι φθέγγεται καὶ ὁμοιότατά ἐστι τοῖς ἐν τῇ Ἰφιγενείᾳ τῇ ἐν Ταύροις, στιχ. 745:

ἤν τι ναῦς πάθῃ
χὴ δέλτος ἐν κλύδωνι χρημάτων μέτα
ἀφανὴς γένηται.

καὶ πάλιν στιχ. 752:

ἣν δ' ἐν θαλάσσῃ γράμματ' ἀφανισθῇ τάδε.

Πολλοὺς μὲν ἤνεγκεν ἡ Ἀλεξάνδρεια μοχθηροὺς καὶ ἀθλίους ποιητὰς, ἐν δὲ τοῖς χειρίστοις ἂν ἔγωγε θείην τὸν τῶν Ἰουδαϊκῶν τραγῳδιῶν ποιητὴν Ἐζεκίηλον, οὗ πολλὰ παρατίθεται ὁ Κλήμης οὐκ αὐτὸς ἀναγνοὺς ἀλλ' ἐκ τῶν τοῦ Πολυΐστορος Ἀλεξάνδρου μεταγράψας. Ἀκούωμεν ὀλίγα αὐτοῦ τοῦ Μωϋσέως προλογίζοντος. Διηγεῖται γὰρ ὁ ἀνὴρ πάντα τὰ καθ' ἑαυτὸν ἀκριβῶς, ἐν δὲ τοῖς καὶ τάδε παρὰ μὲν τῷ Κλήμεντι σελ. 414, παρὰ δὲ τῷ Πολυΐστορι ἐν τῇ τοῦ Εὐσεβίου Προπαρασκευῇ σελ. 437 D.

εἶπεν δὲ θυγάτηρ βασιλέως· τοῦτον, γύναι,
τρόφευε κἀγὼ μισθὸν ἀποδώσω σέθεν.

---

[1]) Μᾶλλον δὲ οὐχ ἑνὸς σοφιστοῦ ἀλλὰ πλειόνων ἐστὶ ταῦτα Φιλοτεχνήματα, ὧν οἱ μὲν ψυχρὰ καὶ ἀπίθανα συνείρουσιν, οἱ δὲ ἱστορίαν κατεψευσμένην οὐκ ἀγλαφύρως διατίθενται, ὡς ὁ τὰς δύο ἐπιστολὰς (μᾶλλον δὲ μίαν δίχα τετμημένην) πρὸς τοὺς Δίωνος οἰκείους πλασάμενος. Χρῶνται δὲ ταύταις ὡς γνησίαις τοῦ Πλάτωνος ὡς ἔπος εἰπεῖν οἱ περὶ λόγους ἅπαντες. Τί δὲ δεῖ περὶ τῶν ἄλλων λέγειν, ὅπου καὶ αὐτὸς Ἀριστοφάνης ὁ γραμματικὸς τὰς Ἐπιστολὰς ταύτας ὡς γνησίας ἐγκρίνας φανερός ἐστιν ἐξ ὧν γράφει ὁ Λαέρτιος Διογένης Γ. 61.

ὄνομα δὲ Μωσῆν ὠνόμαζε τοῦ χάριν
ὑγρᾶς ἀνεῖλε ποταμίας ἀπ' ᾠόνος.

καλόν γε τὸ τρόφευε ἀντὶ τοῦ τρέφε, κάλλιον δ' ἔτι τὸ σέθεν ἀντὶ τοῦ σοί κείμενον, τὸ δὲ ἀνεῖλε, ὥ λῷστε Ἐζεκίηλε, ἴσον ἐςὶ τῷ ἀπέκτεινε, σὺ δ' ἄρα ἀνείλετο ἐβούλου λέγειν. Ἔ. σφαλται δὲ τὸ τοῦ χάριν ἰσοδυναμοῦν τῷ ὅτι. γραπτέον γὰρ: »ὠνόμαζ' ὅτου χάριν."

Διὰ δὲ τὸ οὐ πολλούς τινας τὴν τραγικὴν τῶν Ἰουδαίων Μοῦσαν εἰδέναι τοῖς τῆς τοιαύτης χάριτος ἀγεύςοις οὐκ ὀκνήσω ῥῆσίν τινα ἐκ τῶν τοῦ Πολυΐςορος παραθέσθαι, σελ. 407 B. Ἀκρόασαί μοι τοῦ Μωϋσέως τάδε διεξιόντος:

Ὁρῶ δὲ πρῶτον ἄνδρας ἐν χειρῶν νόμῳ,
τὸν μὲν γένος Ἑβραῖον, τὸν δ' Αἰγύπτιον.
ἰδὼν δ' ἐρήμους καὶ παρόντα μηδένα
ἐρρυσάμην ἀδελφὸν, ὃν δ' ἔκτειν' ἐγὼ,
ἔκρυψα δ' ἄμμῳ τοῦτον, ὥςε μὴ εἰσιδεῖν
ἕτερόν τιν' ἡμᾶς καὶ ποτυμνῶσαι φόνον.
τῇ δ' ὑπαύριον δὲ πάλιν ἰδὼν ἄνδρας δύο
μάλιςα δ' αὐτοὺς συγγενεῖς κακουμένους
λέγω· τί τύπτεις ἀσθενέςερον σέθεν;
ὁ δ' εἶπεν· ἡμῖν τίς σ' ἀπέςειλε κριτὴν
ἢ δικάςτην ἐνταῦθα; μὴ κτενεῖς σύ με
ὥσπερ τὸν ἐχθὲς ἄνδρα; καὶ δείσας ἐγὼ
ἔλεξα· πῶς ἐγένετο συμφανὲς τόδε;
καὶ πάντα βασιλεῖ ταῦτ' ἀπήγγειλεν ταχύ,
ζητεῖ δὲ Φαραὼ τὴν ἐμὴν ψυχὴν λαβεῖν.

Τί σοι ταῦτα φαίνεται, ὦ φίλτατε Κόντος; Μή τι τούτων πεζότερα καὶ ψυχρότερα δοκεῖ ἄν τις γράψαι πώποτε; Ἵνα δὲ μηδὲν περὶ τῶν ἄλλων εἴπω, ὡς σεμνὸν καὶ τραγικὸν τό·

ζητεῖ δὲ Φαραὼ τὴν ἐμὴν ψυχὴν λαβεῖν.

ὡς ἐν τῷ κατὰ Ματθαῖον Εὐαγγελίῳ B. 20: »ζητοῦντος τὴν ψυχὴν τοῦ παιδίου," καὶ ἐν τῇ τοῦ Παύλου πρὸς Ῥωμαίους ἐπιςολῇ IA. 3: »ζητοῦσι τὴν ψυχήν μου," ἀντὶ τοῦ »θάνατόν μοι ἐπιβουλεύουσιν." Ὁ δὲ δεύτερος τῶν εἰχων κακόμετρος ὢν διορθωτέος οὕτω πως·

ὃν μὲν τὸ γένος Ἑβραῖον, ὃν δ' Αἰγύπτιον.

Ὁ δὲ Κλήμης σελ. 415 ὀλίγα τούτων παρατιθέμενος γράφει: »μὴ κτείνεις δέ με;" κακῶς. εἰώθασι γὰρ μυριάκις, ὡς οἶσθα,

καταισχῦνον αὐτῶν τὴν ορνικὴν ταύτην δικαιοσύνην ἐκποδὼν ποιησαμένους φῶς τῇ τοῦ λύχνου περιτροπῇ μίγνυσθαι ὅπως ἐθέλοιεν αἷς βούλοιντο." Φεῦ τῆς ὑηνίας! εἰ μὴ ἴσως διὰ τὰ σφοδρότατα τῶν ἀντιδοξούντων πρὸς ἀλλήλους μίση ἐπλάσθη καὶ ταῦτα, ὡς ἕτερα πολλὰ, ἢ σμικρότερα ὄντα εἰς δείνωσιν ὑπερηυξήθη. Οὐκ ἔσι δ' ἐμὸν τὰ τοιαῦτα ἐξετάζειν ἀλλὰ τὰ περὶ τὴν γραφὴν διευκρινεῖν. Τὰ μὲν ἄλλα, ὡς ὁρᾷς, ὦ φίλτατε Κόντος, καὶ λίαν ἐςὶ σαφῆ καὶ πρόδηλα, ἀποροῦμεν δὲ περὶ τῶν ἐν μέσῳ τούτων· »ἐν πλησμονῇ τῇ κυπρίσῃ φασίν." Οὕτω μὲν ὁ Πόττερος γράφει, ὁ δὲ Κλότζιος καπρίσῃ γράφων πλέον θάτερον ἐποίησε. Ζητήσωμεν οὖν τἀληθές, μᾶλλον δὲ οὐδὲν δεῖ ζητοῦντα πράγματα ἔχειν, σὺ γὰρ δὴ Φιλευριπίδης ὢν καὶ τὰ ἐκείνου πάντα πρόχειρα ἔχων παραχρῆμα, οἶμαι, τὸ ζητούμενον ἐξεύρηκας. Γραπτέον γάρ· ἐν πλησμονῇ τοι Κύπρις, ἢ φασὶν * *," εἶτ' ἀναπληρωτέον τι περὶ οὗ ἐν τοῖς ἑξῆς ἐροῦμεν. Περιβόητόν ἐςι τὸ τοῦ Εὐριπίδου παρ' ἄλλοις τε πολλοῖς καὶ παρὰ τῷ Δειπνοσοφιςῇ κείμενον σελ. 270 C. »ὁ σοφὸς Εὐριπίδης ἔφη

ἐν πλησμονῇ τοι Κύπρις, ἐν πεινῶντι δ' οὔ."

παρ' ἑτέροις τισὶ φέρεται »ἐν πεινῶσι δ' οὔ," ὅπερ ἴσως βέλτιον. Προεισὼν οὖν ὁ Κλήμης »μετὰ δὴ τὸ κορεσθῆναι" ἀσείως ἐπήγαγεν: »ἐν πλησμονῇ τοι Κύπρις, ἢ φασὶν (οἱ παροιμιαζόμενοι)," οὕτω γάρ πως ἀναπληρωτέον καθάπερ τῷ Κλήμεντι ἐν τοῖς τοιούτοις ἔθος λέγειν, οἷον σελ. 324: »μὴ παιδὶ μάχαιραν, ἢ φασὶν οἱ παροιμαζόμενοι, ὀρέγοντες εὑρεθῶμεν," καὶ σελ. 426: »οὐ γὰρ δὴ μία Μύκονος, ἢ φασὶν οἱ παροιμιαζόμενοι," καὶ ἀλλαχοῦ. Τὸ δὲ Εὐριπίδειον παρὰ πᾶσι διαθρυλούμενον παροιμιῶδες ἐγένετο, ᾧ ἐχρήσατο καὶ ὁ Ἀντιφάνης παρὰ τῷ Δειπνοσοφιςῇ σελ. 28 F. διὰ τούτων·

Ἐν πλησμονῇ γὰρ Κύπρις, ἐν δὲ τοῖς κακῶς
πράσσουσιν οὐκ ἔνεσιν Ἀφροδίτη βροτοῖς.

Οἱ προτοῦ πάντες μέχρι τοῦ μεγάλου Βεντληΐου τῶν μέτρων καὶ τῆς μετρικῆς τέχνης σχεδόν τι ἀπειρότατοι ἦσαν καὶ ὅσα περὶ τῶν τοιούτων οἱ τότε συνέγραψαν, ὡς ἔπος εἰπεῖν, οὐδενός ἐσιν ἄξια. Ἓν καὶ δεύτερον τούτου παράδειγμα ἐκ τῶν τοῦ Κλήμεντος ὑπογράψω. Μέγα φυσᾷ ὁ Κλήμης σελ. 259 Ἰλιάδα κακῶν διαγράφων ἐκ τῆς τοῦ Πάριδος μοιχείας ἀναβλαςόντων. »Ἤπειροι κεκίνηνται δύο ἀπαιδεύτοις ἡδοναῖς καὶ κλονεῖται τὰ πάντα μειρακίῳ

παραφράζειν· ἀπὸ προσώπου Κυρίου τρέμει ἡ γῆ.'' Παραφράζει μέντοι, ὦ βέλτιστε Κλήμης, περιφανῶς παραφράζει, τίς ἀντερεῖ; Ἀπορῶ δ' ὁπόθεν ὁ τραγικὸς τὸ τῶν Ψαλμῶν βιβλίον λαβὼν ἀνέγνω. Πάριθι νῦν καὶ σύ, ὦ Σοφόκλεις. προσέχωμεν τὸν νοῦν.

εἷς ταῖς ἀληθείαισιν, εἷς ἐστὶν θεός,
ὃς οὐρανόν τ' ἔτευξε καὶ γαῖαν μακράν,
πόντου τε χαροπὸν οἶδμα κἀνέμων βίας.
θνητοὶ δὲ πολλοὶ καρδίᾳ πλανώμενοι
ἱδρυσάμεσθα πημάτων παραψυχὴν
θεῶν ἀγάλματ' ἐκ λίθων ἢ χαλκέων
ἢ χρυσοτεύκτων ἢ 'λεφαντίνων τύπους·
θυσίας τε τούτοις καὶ κενὰς πανηγύρεις
νέμοντες οὕτως εὐσεβεῖν νομίζομεν.

Εἰκότως ταῦτα ὁ Κλήμης θαυμάζει τε καὶ ἐκπλήττεται, διὰ δὶς τὰ καλὰ ταῦτα προφέρεται σελ. 63 καὶ 717. κἀκεῖ μάλα σπουδάσας ὑπογράφει τάδε: »οὐτοσὶ μὴν ἤδη καὶ παρακεκινδυνευμένως ἐπὶ τῆς σκηνῆς τὴν ἀλήθειαν τοῖς θεαταῖς παρεισήγαγεν.'' Ἔστι δ' ὡς ἀληθῶς θαυμαστὸν πῶς ὁ ταῦτα ποιήσας τὸ κώνειον ἀπέφυγε. Πολλῷ ἄρα ἦσαν τῶν Χριστιανῶν οἱ τότε Ἀθηναῖοι περὶ τὰ τοιαῦτα εὐγνωμονέστεροι. Ἀκροασώμεθα δέ τι καὶ τοῦ Ἐπιχάρμου σελ. 719·

ἔστιν ἀνθρώπῳ λογισμός, ἔστι καὶ θεῖος λόγος.
οὐ γὰρ ἄνθρωπος τέχναν εὗρ', ὁ δὲ θεὸς ταύταν φέρει.
ὁ δέ γε τἀνθρώπου λόγος πέφυκ' ἀπὸ τοῦ θείου λόγου.

καὶ ὀλίγον ἔμπροσθεν·

ὁ βίος ἀνθρώποις λογισμοῦ κἀριθμοῦ δεῖται πάνυ.
ζῶμεν ἀριθμῷ καὶ λογισμῷ· ταῦτα γὰρ σώζει βροτούς.

Πάγκαλα ταῦτα καὶ πάνσοφα καὶ Πυθαγορείου Φιλοσόφου ἄξια. Φέρε δὴ παραθώμεθά τι καὶ τῆς Ἀριστοφάνους μούσης. Ἄιδει ἡ Ἀττικὴ Σειρὴν σελ. 751. τάδε·

βέβαιον ἕξεις τὸν βίον δίκαιος ὢν
χωρίς τε θορύβου καὶ φόβου ζήσεις καλῶς.

ὡς σεμνὸς ἡμῖν ὁ Κωμικὸς ἀναπέφηνεν οὕτω σπουδαιολογούμενος καὶ τὰ βέλτιστα παραινῶν. Ἀλλ' οὐδὲν πρὸς τὸν Δίφιλον τὸν τάδε εἰρηκότα σελ. 721·

μηδὲν πλανηθῇς· ἔστι κἀν Ἅιδου κρίσις,
ἥνπερ ποιήσει θεὸς ὁ πάντων δεσπότης,
οὗ τοὔνομα φοβερὸν οὐδ' ἂν ὀνομάσαιμ' ἐγώ.

καὶ ὀλίγον τι ὑποβάς·

ὁρᾶθ' ὅσοι δοκεῖτε οὐκ εἶναι θεόν.
ἔστιν γάρ, ἔστιν· εἰ δέ τις πράττει κακῶς
κακὸς πεφυκὼς τὸν χρόνον κερδανάτω.
χρόνῳ γὰρ οὗτος ὕστερον δώσει δίκην.

δώσει δὲ δίκην ὁ μιαρὸς οὗτος, ὁ ἄθεος,

ὅταν σχολὴν ἄγουσα τυγχάνῃ Δίκη.

ὡς ἔφθη εἰπὼν ὁ Κωμικός. Εἰκὸς γάρ ἐστι τὴν Δίκην ἐν τοσούτῳ πλήθει ἀδικούντων καὶ ἀσεβούντων μόλις ἀνταρκεῖν καὶ οὐδὲ κνήσασθαι τὸ οὖς τὸ τοῦ λόγου σχολὴν ἄγειν. Ἔσφαλται δὲ δὶς ἡ γραφή· ἀναγνωστέον γὰρ νομίζετε ἀντὶ τοῦ δοκεῖτε ἐν τῷ

ὁρᾶθ' ὅσοι νομίζετ' οὐκ εἶναι θεόν,

καὶ »πράττει καλῶς" ἀντὶ τοῦ »κακῶς," ὡς προείπομεν. Πολλῷ δ' ἔτι χεῖρον παρέφθαρται τραγικοῦ τινὸς ῥῆσις ἐν τοῖς ἑξῆς περὶ τῆς τῶν ὅλων ἐμπρήσεως καὶ ἐκπυρώσεως οὕτως ἔχουσα·

ἐπὰν δ' ἄρ' ἐκλίπῃ τὸ πᾶν
φροῦδος μὲν ἔσαι κυμάτων ἅπας βυθός,
γῆ δ' ἑδράνων ἔρημος· οὐδὲ γάρ τ' ἔτι
πτερωτὰ φῦλα βλαστήσει πυρούμενα.

Δεινὰ ταῦτα καὶ φρικώδη, πλὴν τῶν τελευταίων, τελέως γάρ ἐστιν ἀδιανόητα. Σὺ δέ μοι ὧδε μετάγραφε·

οὐδ' ἀὴρ ἔτι | πτερωτὰ φῦλα βασάσει πυρούμενος.

Ὑπερακοντίζει δὲ μακρῷ τοὺς ἄλλους ἅπαντας ὁ βέλτιστος Μένανδρος, οὗ ἄξιον ἀκούειν. Παραθήσομαι δὲ ὅλην τὴν ῥῆσιν ἐκ τῶν τοῦ Κλήμεντος σελ. 720:

εἴ τις δὲ θυσίαν προσφέρων, ὦ Πάμφιλε,
ταύρων τι πλῆθος ἢ 'ρίφων ἢ νὴ Δία
ἑτέρων τοιούτων, ἢ κατασκευάσματα,
χρυσᾶς ποιήσας χλαμύδας ἤτοι πορφυρᾶς
ἢ δι' ἐλέφαντος ἢ σμαράγδου ζῴδια,
εὔνουν νομίζει τὸν θεὸν καθεξάναι,
πεπλάνηται· ἐκεῖνος καὶ φρένας κούφας ἔχει.
δεῖ γὰρ τὸν ἄνδρα χρήσιμον πεφυκέναι,
μὴ παρθένους φθείροντα, μὴ μοιχώμενον,
κλέπτοντα καὶ σφάττοντα χρημάτων χάριν.
μηδὲ βελόνης ἔναμμ' ἐπιθυμῇς, Πάμφιλε,
ὁ γὰρ θεὸς βλέπει σε πλησίον παρών.

καὶ αὖθις μετ' ὀλίγα ὁ αὐτὸς Κωμικὸς εὐσεβέστατά πως ὥστε ἐκπλήττεσθαι τὸν Κλήμεντα παραινεῖ τάδε·

θεῷ δὲ θῦε διὰ τέλους δίκαιος ὤν,
καὶ λαμπρὸς ὢν ταῖς χλαμύσιν ὡς τῇ καρδίᾳ.
βροντῆς ἐὰν (σκληρᾶς) ἀκούσῃς μὴ φύγῃς
μηδὲν συνειδὼς αὐτὸς αὑτῷ, δέσποτα,
ὁ γὰρ θεὸς βλέπει σε πλησίον πικρόν.

Ἀλλ' οὐκέτι οἷός τ' εἰμὶ ἐπὶ τοῖς τοιούτοις ποιήμασι κατέχειν τὸν γέλωτα καὶ οὐκέτι σκώπτων οὐδ' εἰρωνευόμενος ἀποφαίνομαι τὴν γνώμην, ὅτι ταῦτα πάντα τά τε Αἰσχύλου καὶ Σοφοκλέους εἶναι λεγόμενα καὶ τὰ Διφίλου καὶ Μενάνδρου καὶ τῶν ἄλλων πολλῷ ἔτι χείρω καὶ μοχθηρότερα εἶναί μοι δοκεῖ τῶν καταγελάστων τοῦ ἠλιθίου Ἐξεκιήλου ποιημάτων. Ὅτι δὲ ταῦτα πάντα νόθα ἐστὶ καὶ ὑποβολιμαῖα καὶ Ἰουδαϊκῆς πανουργίας, μᾶλλον δ' ἀναισχυντίας, κάκιστον ὄζει οὐδὲ λόγου προσδεῖν ἡγοῦμαι. Ἅπαντα γὰρ τά τε τῆς διανοίας καὶ τὰ τῆς λέξεως οὕτω μικρὰ καὶ τῆς Ἑλληνικῆς Μούσης ἀπᾴδοντα καὶ βαρβαρικῆς σολοικίας ἀνάπλεω ὥστε μηδένα ἂν τῶν νῦν φιλολογούντων, ὧν καὶ σμικρὸν ἔφελες, δύνασθαι λαθεῖν. Οὐ γὰρ μόνον οἱ ταῦτα κακὰ κακῶς σκευωρησάμενοι τὸ τοῦ Κωμικοῦ οὐδὲ τρία ῥήματα εἰπεῖν δύνανται πρὶν ἐξαμαρτεῖν, ἀλλὰ σχεδόν τι καθ' ἕκαστον ῥῆμα ἀσχημονοῦσιν, οἷόν ἐστι τό·

μηδὲ βελόνης ἔναμμ' ἐπιθυμῇς, Ἄμφιλε.

Τυφλὸς ἦν ὁ Κλήμης περὶ τὰ τοιαῦτα, τυφλοὶ δὲ καὶ οἱ τότε πάντες καίπερ λογιώτατοι εἶναι δοκοῦντες, τυφλοὶ δ' ἦσαν καὶ οἱ πρότερον φιλολογοῦντες ὑπὸ τοῦ ἀξιώματος οἷμαι τῶν μαρτύρων δεδουλωμένοι τὸν νοῦν. Ἀνεφρόνησε δὲ πάντων πρῶτος ὁ Βεντλήϊος ὁ μέγας καὶ τὴν τῶν γοήτων τῶν τὰ τοιαῦτα πλασαμένων ἀναισχυντίαν φανερῶς ἐξήλεγξεν ἐν τῇ θαυμασῇ πρὸς Μίλλιεν ἐπιστολῇ. Μνησθεὶς γὰρ τῶν Σοφοκλείων δῆθεν ἐκείνων·

εἷς ταῖς ἀληθείαισιν, εἷς ἐστιν θεός,

καὶ τῶν ἐξῆς πιθανώτατα καὶ ἀσεβέστατα, ὥσπερ εἴωθεν, ἀποδείξας τήν τε τῶν ταῦτα ποιησάντων μοχθηρίαν καὶ τὴν Κλήμεντος καὶ τῶν ἄλλων τῶν τὰ τοιαῦτα γνήσια εἶναι ὑπολαβόντων εὐήθειαν καὶ ἀκρισίαν. Ἀποδείξας δὲ πάντ' ἀκριβῶς πρὸς τὸν Μίλλιεν τάδε γράφει, ἃ κἀγὼ ἄσμενος ἂν πρὸς σὲ εἴποιμι· «Σὺ δὴ καὶ οἱ σὺν ὅμοιοι σκέψασθε τὸ πρᾶγμα καὶ ἀποφήνασθε τὴν γνώμην, ἀλλὰ μὴ Βεκκεσέληνοί τινες, πολυμαθεῖς μὲν ἠλίθιοι δὲ καὶ ἀνόητοι,

ἀνέρες ὧν τὸ κέαρ
Παλῶ σέσακται καὶ δυσεκνίπτω τρυγός'' [1]).

Ἐξηπάτηται οὖν ὁ βέλτιστος Κλήμης κἄτα πολλοὺς ἐξηπάτησε τυφλῷ ἡγεμόνι αὐτῷ εἰκῇ ἀκολουθήσαντας. Τίς δὲ ὁ τὸν Κλήμεντα φενακίσας καὶ τὰ δύσηνα ταῦτα ποιημάτια οὕτως ἀθλίως καὶ ἀπειροκάλως πλασάμενος; καὶ τοῦτο γὰρ ἄξιον εἰδέναι. Μηνύει δ' αὐτὸς ὁ Κλήμης σελ. 717. διὰ τούτων: »Ὁ μὲν Σοφοκλῆς, ὥς φησιν Ἑκαταῖος ὁ τὰς ἱστορίας συνταξάμενος ἐν τῷ κατ' Ἄβραμον καὶ τοὺς Αἰγυπτίους, ἄντικρυς ἐπὶ τῆς σκηνῆς ἐκβοᾷ·

εἷς ταῖς ἀληθείαισιν, εἷς ἐστὶν θεός κτἑ.''

Ἴσμεν τὸν γόητα, τὸν Ἰουδαῖον ὄλεθρον, τὸν ὑπ' ἀνδρὸς ἐνδόξου Ἑκαταίου τοῦ Ἀβδηρίτου πρόσωπον ὑποδεδυκότα καὶ πάμπολλα δὴ ἀναιδῶς πεπλακότα ἀτεχνῶς θαύματα μωροῖς. Σὺ δῆτα τὰ καλὰ ταῦτα ἔπλασας, ὦ μιαρώτατε Ἰουδαίων, καὶ ἀνθρώπους τινὰς εὐήθεις καὶ ταχυπειθεῖς Ἰουδαίους καὶ Χριστιανοὺς ἐφενάκισας. Ἀλλ' οὐκέτι τοῦ λοιποῦ ἐξαπατήσεις οὐδένα περιφανῶς πλάνος καὶ ἀπατεὼν καὶ ψευδολόγος ὢν ἐξελελεγμένος καὶ προσέτι ποιητὴς τῶν πώποτε γενομένων κάκιστος. Κἄτα τοιοῦτος ὢν Σοφόκλειά τινα καὶ Αἰσχύλεια καὶ Μενάνδρεια ἡμῖν ποιεῖν ἐπεχείρησας. Οὐκ ἄρα ἐμέμνησο τῶν τοῦ γνησίου Σοφοκλέους ἐκείνων

Ἅπαντ' ὁ μακρὸς καναριθμητος χρόνος
φύει τ' ἄδηλα καὶ φανέντα κρύπτεται.

καὶ τοῦ Μενανδρείου·

ἄγει δὲ πρὸς φῶς τὴν ἀλήθειαν χρόνος.

Πολλὰ γὰρ πολλοῖς ὁμοίως τούτοις καὶ πολλῷ ἔτι πανουργότερον καὶ τεχνικώτερον τούτων πέπλασαι καὶ ὑποβέβληται καὶ κατέψευσαι, ἀλλ' ἐάν τις νοῦν ἔχῃ καὶ ῥῖνα κριτικὴν πρὸς λόγους οὐ παγχάλεπον τῶν ψευδῶν τἀληθῆ διακρίνειν. Πολλάκις δ' ἐπῆλθέ μοι θαυμάζειν τὴν τῶν παλαιῶν περὶ τὰ τοιαῦτα ἀκρισίαν. Τίς γὰρ ἂν τῶν νῦν περὶ ταῦτα σπουδαζόντων οὐκ ἂν ῥᾳδίως τὰ τῶν μεταγενεστέρων τραγῳδάρια τῶν τοῦ Σοφοκλέους διαγνοίη; Ἄκουε δέ μοι πρὸς ταῦτα τοῦ Λαερτίου Διογένους τάδε περὶ τοῦ Ἡρακλείδου τοῦ Ποντικοῦ Ε. 92 ἱστοροῦντος: »ὁ Ἡρακλείδης τραγῳδίας ἐποίει καὶ Θέσπιδος αὐτὰς

---

[1]) »Tu tuique similes rem cognoscite et sententiam ferte; non Βεκκεσέληνοι quidam, πολυμαθεῖς sine pectore et mente,

ἀνέρες ὧν τὸ κέαρ κτλ.''

Bentleius in *Epistola ad Millium*, pag. 14.

ἐπέγραφε.'' Ποιητικὸς ἄρα τις ἦν καὶ τρίβων τὰ τοιάδε, ὅμως δὲ τοιοῦτος ὢν αὐτὸς γελοίως πάνυ ἐφενακίσθη. Ἴσορεῖ γὰρ ὁ Διογένης ἐν τοῖς ἑξῆς τάδε: »Διονύσιος ὁ Μεταθέμενος ἢ Σπίνθαρος, ὡς ἔνιοι, γράψας τὸν Παρθενοπαῖον ἐπέγραψε Σοφοκλέους· ὁ δὲ (Ἡρακλείδης) πιστεύσας εἴς τι τῶν ἰδίων συγγραμμάτων ἐχρῆτο μαρτυρίοις ὡς Σοφοκλέους· αἰσθόμενος δ' ὁ Διονύσιος ἐμήνυσε τὸ γεγονός.'' Ἀπισοῦντα δὲ καὶ ἀντιλέγοντα ἐπεξόμισε γελοιότατα, ὡς ἐν τοῖς ἑξῆς γέγραπται. Πολλάκις δ' ἐθαύμασα πῶς ποτὲ ὁ Ἡρακλείδης ὁ πλεῖσα δὴ ἀναγνοὺς καὶ αὐτὸς συγγράψας γνησίαν ᾤετο τοῦ Σοφοκλέους τραγῳδίαν εἶναι τὰ ὑπὸ τοῦ Μεταθεμένου Διονυσίου γεγραμμένα σιχίδια, καὶ αὐτὸς πρότερον πολλοὺς φενακίσας οὕτω ῥᾳδίως ὑφ' ἑτέρου φένακος ἐξηπατήθη. Μᾶλλον δ' ἔτι τοῦτο θαυμάσεταί τις τοῖς ὑπὸ τῶν τότε συγκειμένοις ποιηματίοις ἐντυχών. Γλαφυρὰ μὲν γάρ ἐστι καὶ ἀστεῖα καὶ ῥογύλα, ἀλλ' οὐδὲν πρὸς τὰ τῶν παλαιῶν, ἔνια δὲ καὶ ψυχρὰ καὶ κακόζηλα. Ἐφέρετο δὲ καὶ τοῦ Διογένους τραγῳδάριά τινα, περὶ ὧν τάδε γράφει ὁ Λαέρτιος Διογένης ς. § 80 »τὰ τοῦ Διογένους τραγῳδάριά φησιν ὁ Σάτυρος Φιλίσκου εἶναι τοῦ Λιγινήτου γνωρίμου τοῦ Διογένους,'' καὶ § 73: »Φαβωρῖνος δὲ Πασιφῶντά φησι μετὰ τὴν τοῦ Διογένους τελευτὴν ταῦτα συγγράψαι.'' Ὁ δὲ Κλήμης καὶ τῆς κυνικῆς ταύτης Μούσης ὅσον γεῦμα ἡμῖν παρέθηκε σελ. 492: »ἐμφαντικῶς ὁ Διογένης ἔν τινι τραγῳδίᾳ γράφει·

οἱ τῆς ἀνάνδρου καὶ διεσκατωμένης
τρυφῆς ὑφ' ἡδοναῖσι σαχθέντες κέαρ
πονεῖν θέλοντες οὐδὲ βαιά.''

οὐ χαλεπὸν δήπου ταῦτα τῶν Σοφοκλείων διακρίνειν· ἔστι γὰρ ἡ ποίησις ἥδε, εἰ καὶ κυνικώτερον ἔστιν εἰπεῖν, ἀτεχνῶς ποίησις διεσκατωμένη.

Ὥρα νῦν ἡμῖν ἀπὸ τῆς περὶ τῶν ποιητικῶν ῥήσεων παρεκβάσεως ἐπὶ τὸν ἐξ ἀρχῆς λόγον ἐπανελθόντας ὅθενπερ ἀπελίπομεν τὰ ἑξῆς ἐξετάζειν, εἴ τι ἡμῖν ἤτοι διορθώσεως δεόμενον ἢ ἄλλως παρασημειώσεως ἄξιον ἐν τῷ τοῦ Κλήμεντος Παιδαγωγῷ φαίνεται.

»Πόρρωθεν ἄνωθεν ἀνακόπτοντες αὐταῖς τὰς ὀρέξεις.'' σελ. 187. Δὶς ταὐτὸν ἡμῖν εἶπεν ὁ σοφὸς Κλήμης, μᾶλλον δὲ τῶν ἀντιγραφέων τις θάτερον κακῶς παρεμβαλών. Ἀδιαφόρως δὲ χρῆται ὁ Κλήμης καὶ τούτῳ καὶ ἐκείνῳ, ὡς σελ. 199: πόρρωθεν

διαβάλλων, καὶ σελ. 209: πόρρωθεν ἐπισπωμένης, καὶ σελ. 226: πόρρωθεν ἀπερύκειν. Τὸ δὲ ἄνωθεν κεῖται σελ. 204: ἄνωθεν ἐκκόπτουσα, καὶ σελ. 227: κρατοῦσι τῶν ἐπιθυμιῶν ἄνωθεν. Ὁμοιότατόν τι σφάλμα εὑρήσεις σελ. 77: αὐτόθεν οἴκοθεν αἱρουμένην τὸ βέλτιστον, πάντως γὰρ καὶ τούτοιν θάτερον διαγραπτέον.

»Σκεύη ἀργυρᾶ τε καὶ χρυσᾶ τὰ μὲν εἰς διακονίαν τροφῆς, τὰ δὲ καὶ εἰς ἄλλας τινὰς, αἰσχύνομαι καὶ λέγειν, χρείας.'' σελ. 188. Ἐκπέπτωκε συλλαβὴ μία, γραπτέον γάρ: »(ἃς) αἰσχύνομαι καὶ λέγειν.'' Τὰς ἀμίδας δῆλον ὅτι λέγει, ἃς ἀλλαχοῦ σελ. 162 πάνυ σεμνῶς οὐροδόκας ὠνόμασεν. Ἔσφαλται δὲ ἐν τῇ τοῦ Φωτίου λέξει τάδε: »Οὐροδόκην: τὴν ἀμίδα Ξενοφῶν· οὔρειον δὲ βῆκον Ἀντισθένης.'' Ἀναπληρωτέον δὲ ὧδε: »Οὐροδόκην τὴν ἀμίδα ***, (προχοΐδα δὲ) Ξενοφῶν, οὔρειον δὲ βῆκον Ἀντισθένης.'' Ὁ γὰρ Ξενοφῶν βδελυττόμενος τὸ τῶν ἀμίδων ὄνομα ἐν τῇ Παιδείᾳ (II, 8, 10) τάδε ἔγραψεν: »ἦν δὲ αὐτοῖς νόμιμον μηδὲ προχοΐδας εἰσφέρεσθαι εἰς τὰ συμπόσια.'' Ἐπλάνησε δὲ τὸ σεμνὸν τοῦ ὀνόματος τὸν πολυμαθέστατον Ἀθήναιον, ὃς κύλικάς τινας ὑπέλαβεν εἶναι τὰς τοῦ Ξενοφῶντος προχοΐδας σελ. 496 C. Κρεῖττον δὲ ὁ Αἴλιος Διονύσιος ὑπὸ τοῦ Φωτίου μεταγεγραμμένος τὴν προχοΐδα καὶ τὸν οὔρειον βῆκον καὶ τὴν οὐροδόκην οὐδὲν τῆς ἀμίδος διαφέρειν ἐδίδαξεν.

Ὁρῶ δὲ ἐν τῇ τοῦ Φωτίου λέξει πλησίον που γεγραμμένα τάδε: »Οὖς, ὠτὸς ἡ γενική· οἱ δὲ Ἴωνες οὔατος.'' γραπτέον δέ: »οἱ δὲ Ἴωνες (οὖας), οὔατος.'' Πολλάκις δὲ ἐθαύμασα τίσι ποτὲ τὰ τοιαῦτα ἐν ταῖς τῶν παλαιῶν λέξεσιν ἐγράφη. Τίς γὰρ τῶν Ἑλλήνων πώποτε ἠγνόησεν ὅτι τὸ Οὐδαμῶς σημαίνοι οὐδένα τρόπον, καὶ τὸ Οὐχ ἥκιστα: μάλιστα, καὶ τὸ Οὐχ οἷόν τε: οὐ δυνατόν, ὡς ὁ Φώτιος ἐπιμελῶς διδάσκει, καὶ ἕτερα πλεῖστα τοιαῦτα, ἐν οἷς καὶ τὸ Οὖς, ὠτὸς καὶ οὖας, οὔατος. Ἔοικεν ἄρα τὸ πολὺ τῶν μεταγενεστέρων πλῆθος οὐδὲ ταῦτα καλῶς εἰδέναι, διὸ καὶ τὸ τῶν ἀντιγραφέων ἔθνος συνεχῶς περὶ τὰ τοιαῦτα ἐξ ἀγνοίας ἀεί τι ἁμαρτάνον ὁρῶμεν. Ὀρφέως τινὲς στίχοι φέρονται ἐν τῇ τοῦ Εὐσεβίου Προπαρασκευῇ σελ. 100 D. ὧδ' ἔχοντες·

»οὐδέ τις αὐδὴ οὔτ' ἐνοπὴ οὔτε κτύπος οὔτε
μὲν ὅσσα ἠλήθιος υἱὸς ὑπερμενέος Κρονίωνος.''

ἐν δὲ ἑτέροις ἀντιγράφοις φέρεται τάδε·

ἢ λήθη διὸσ ὑπερμενέος
ἠληθιος υἱὸς ὑπερμ.
ἠλίθιος υἱὸς ὑπερμ.
καὶ ἢ λήθει διὸς υἷα ὑπερμ.
τἀληθὲς δὲ ἔχει ὧδε·

οὐδέ τίς ἐσιν
αὐδὴ οὔτ' ἐνοπὴ οὔτε κτύπος οὐδὲ μὲν ὄσσα,
ἢ λήθει Διὸς οὖας ὑπερμενέος Κρονίωνος.

Διφορεῖται ἡ λέξις σελ. 192 ἐν τοῖσδε: »ταῖς δὲ ἵπποις μιγνυμέναις οἷον ὑμέναιος ἐπαυλεῖται νόμος αὐλῳδίας· ἱππόθορον τοῦτον κεκλήκασιν οἱ μουσικοί,« ἀντὶ τοῦ ἐπαυλεῖται ἐν ἄλλοις φέρεται γραφὴ ὑπαυλεῖται. Πότερον δὲ ἐγκριτέον; Φανερὸν τὸ πρᾶγμα, ἐμοὶ δοκεῖν. Μιγνυμέναις μὲν γὰρ μεταξὺ ὑπαυλεῖται, ἐπαυλεῖται δέ, εἴπερ ἄρα, μετὰ τὴν μῖξιν. Ἄιδοντί τις ὑπαυλεῖ, ὥσπερ τινὰ λέγουσιν ᾄδειν ὑπ' αὐλητῆρος. Ὡσαύτως τὸ ὑπᾴδειν ἐν χρήσει καὶ τὸ ὑπαγορεύειν, ὑφηγεῖσθαι, ὑπογράφειν, ὑπαναγιγνώσκειν, παραπλήσια δὲ καὶ τὸ ὑποθεῖν καὶ τὸ ὑπωνεῖσθαι, ὑποπρίασθαι. Γέγραπταί τι περὶ τούτων ἐν τῷ Ἀμμωνίου Περὶ Διαφόρων Λέξεων σελ. 140: »ὑφηγητὴν λέγομεν τὸν προηγητὴν καὶ ὑπογραμμὸν τὸν προγραμμόν, ὥς φησι καὶ Ἀριστοφάνης ἐγὼ δὲ ὑπαίρω τὸν ὅρκον ἀντὶ τοῦ προαίρω.« Ἄρισα δὲ διώρθωσεν ὁ Βαλκενάριος

ἐγὼ δ' ὑπερῶ τὸν ὅρκον,

ἀντὶ τοῦ προερῶ" καὶ ἐν τῇ τοῦ Ἡσυχίου λέξει »Ὑπερορῶ: ὑπερβάλλω ἀντὶ τοῦ προορῶ". εὐστοχώτατα μετέγραψεν ὁ αὐτός·

Ὑπερῶ: ὑποβαλῶ ἀντὶ τοῦ προερῶ.

Τί δ' ἐστὶ τὸ ὅρκον ὑπαγορεύειν (εὖ ὁ μέλλων ὑπερῶ) σαφῶς δείκνυσιν ἡ Λυσιστράτη ἐν τῷ Ἀριστοφάνους δράματι στίχ. 212 καὶ ἐξῆς, τί δὲ τὸ τὰ ὑπαγορευόμενα γράφειν ἐν τῷ τοῦ Ξενοφῶντος Οἰκονομικῷ (ιϵ. 7) δῆλον ἅπασι. Τὸ δὲ ὑπᾴδειν τοῖς ὀρχουμένοις ὅ, τι ἐστὶ σαφέστατα ὁ Λουκιανὸς ἐν τῷ Περὶ ὀρχήσεως κεφ. 30 διδάσκει. Ἐν δὲ τοῖς Ἀριστοφάνους Ἱππεῦσι στίχ. 401:

εἴ σε μὴ μισῶ γενοίμην ἐν Κρατίνου κῴδιον
καὶ διδασκοίμην προσᾴδειν Μορσίμου τραγῳδίᾳ.

ἐμοὶ μὲν ἀντὶ τοῦ προσᾴδειν ἀληθὲς εἶναι δοκεῖ ὑπᾴδειν, ἐὰν δὲ σοὶ ἄλλως δοκῇ, ὦ φίλτατε Κόντος, ὅ, τι ποτ' ἐστὶ τὸ τραγῳδίᾳ προσᾴδειν δίδασκέ με.

Πολλὰ πάσχει ἄλλως τε καὶ ἐν τοῖς διὰ σημείων γεγραμμένοις ὁ δέ. Ἔσι γὰρ σημεῖόν τι ὅμοιον τῷ (;) ὀξεῖαν, ἐνίοτε δὲ βαρεῖαν, ἐπικειμένην ἔχον, διὸ ὁ δέ πολλάκις μὲν μεταπίπτει ἤτοι εἰς (;) ἢ εἰς (,), πολλάκις δὲ ὅλως ἀφανίζεται. Ἐνίοτε δὲ καὶ ἀντὶ τοῦ δέον ὄψει δέ γεγραμμένον, καὶ ἐν ἄλλοις δὲ παρὰ τὴν τῶν λεγομένων διάνοιαν τὸν δέ παρεμβεβλημένον εὑρήσεις. Τούτου δὴ δύο παραδείγματα ἐκ τῶν τοῦ Κλήμεντος ἐπίσκεψαί μοι τάδε: σελ. 196: »Φρόνιμον λέγει τὸν πανοῦργον νῦν, τὸν [δὲ] ἐναντίως τῷ μωρῷ διακείμενον.« καὶ σελ. 281: »περιττὸν δὲ τὸ τῆς ἀλέας ἐξὸν [δὲ] καὶ ἄλλως παραμυθεῖσθαι τὸ κατεσκληκὸς ὑπὸ κρύους.«

Ὁμοῦ πάντα συγκέχυται, οὐ τὰ χρήματα (κατὰ τὸν Ἀναξαγόραν), ἀλλὰ τὰ ῥήματα σελ. 197. ἐλθέτω οὖν ὁ νοῦς ταῦτα διακοσμήσων. Γράφεται: »ἀποδέχομαι γὰρ εὖ μάλα ἐκεῖνον, προσώποις μειδιῶντα, ὃς ἐφαίνετο

μειδιόων βλοσυροῖσι προσώπασι,

τὸν τοῖς βλοσυροῖς.« Γραπτέον δέ: »— ἐκεῖνον, τὸν τοῖς βλοσυροῖς προσώποις μειδιῶντα, ὃς ἐφαίνετο

μειδιόων βλοσυροῖσι προσώπασι.«

Νῦν δέ, οὐ γὰρ δὶς ταὐτὸν ἡμῖν εἶπεν ὁ Κλήμης, αἵρεσιν δίδωμί σοι ὁπότερον βούλει περιελεῖν τὸ »τὸν — μειδιῶντα« ἢ τὸ »ὃς ἐφαίνετο — προσώπασι.« Κρεῖττον δὲ τὰ τοῦ Ποιητοῦ τηρεῖν ἐξηρημένων τῶν προτέρων.

Τοὺς νέους εὐσχημονεῖν διδάσκων ὁ Κλήμης (σελ. 201) οὕτω φησίν: »οὐκουν προσεκπηδητέον ὑπὸ λαιμαργίας,« σὺ δὲ γράφε »προεκπηδητέον,« ὡς τὸ πρᾶγμα αὐτὸ δείκνυσι. Πολλάκις ἑόρακας, ὦ φίλτατε Κόντος, ἐν τοῖς ἀντιγράφοις τοῖς εἰς τάχος γεγραμμένοις τὴν ΠΡΟ ἤ τι ἢ οὐδὲν τῆς ΠΡΟΣ διαφέρουσαν. Τοιγαροῦν μυριάκις αἱ προθέσεις αὗται συγχέονται, ὁ δὲ νοῦς τῶν ἀεὶ λεγομένων ταὐληθὲς σαφῶς ὥσπερ ἐνθάδε ἀποφαίνει. Τοῦ ἐπιτυχόντος ἐσὶ διορθοῦν σελ. 180: »ἐφ' ὅσον βρέξαι τὰ σιτία μόνον οἴεται δεῖν προάγειν« τουτέσι προϊέναι, ἀντὶ τοῦ προσάγειν, καὶ σελ. 778: »προαπαντᾷ τῷ μέλλοντι« ἀντὶ τοῦ προσαπαντᾷ. Οὐδ' ὅλως Ἑλληνικὰ ῥήματά ἐσι τὸ προσεκπηδᾶν καὶ προσαπαντᾶν, καὶ ἕτερα πολλὰ τῶν οὕτω συγκειμένων περιφανῶς ἡμάρτηται καὶ τῆς Ἑλλάδος γλώττης ἐσὶν ἀλλότρια. Ἐπίδραμέ μοι τὰ ἐκ τοῦ προσανα-, προσαπο-, προσεκ-, προσεπι-,

κτλ. συγκείμενα ἐν τῷ τοῦ Στεφάνου Θησαυρῷ, καὶ οὐκ ὀλίγα, εὖ οἶδ' ὅτι, γελάσας διαγράψεις οὐδὲν ἧττον μοχθηρὰ ὄντα τοῦ Προσεκπηδᾶν, οἷόν ἐστι καὶ τὸ Προσαναφυσᾶν. Εἴρηκέ που Πλάτων ὁ Κωμικός·

τὴν παῖδα τοὺς αὐλοὺς ἐχρῆν ἔχειν πάλαι προχείρους
καὶ προαναφυσᾶν.

ὁ δὲ Δινδόρφιος τὸ τῶν ἀντιγράφων προσαναφυσᾶν ἐνέκρινε. Προσθήσω δ' ἓν μόνον τοῦ Φιλοχόρου χάριν τοῦ τὴν Ἀτθίδα συγγράψαντος. Φέρεται σχόλιόν τι εἰς τὸν Λουκιανοῦ Τίμωνα (κεφ. 30) τοιόνδε: »(ὁ Κλέων) ἐπέσχη τῇ πρὸς Λακεδαιμονίους εἰρήνῃ ὡς Φιλόχορος προσθεὶς ἄρχοντα Εὔθυνον.« Ἀναγνωστέον δέ »ὡς Φιλόχορος ἰσορεῖ προθεὶς ἄρχοντα Εὐθύδημον.« Ὁ γὰρ Φιλόχορος τὸ τοῦ ἄρχοντος ὄνομα προθεὶς τὰ ἐπὶ τούτου ὑπέγραφεν, ὡς ἐκ τοῦ Διονυσίου τοῦ Ἁλικαρνασέως φανερὸν γίγνεται τάδε ἐκ τῶν τοῦ Φιλοχόρου παρακειμένου:

»Καλλίμαχος Περγασῆθεν.
Ἐπὶ τούτου Ὀλυνθίοις — οἱ Ἀθηναῖοι συμμαχίαν ἐποιήσαντο κτέ.
Θεόφραστος Ἁλαιεύς.
Ἐπὶ τούτου Φίλιππος τὸ μὲν πρῶτον ἀναπλεύσας Περίνθῳ προσέβαλε κτέ.
Λυσιμαχίδης Ἀχαρνεύς.
Ἐπὶ τούτου τὰ μὲν ἔργα τὰ περὶ τοὺς νεωσοίκους καὶ τὴν σκευοθήκην ἀνεβάλοντο κτέ.«

Τοῦτ' ἔστι Προθεῖναι, οἶμαι, ἀλλ' οὐχὶ Προσθεῖναι. Πρὸς ταῦτά μοι νῦν τοῦ Κλήμεντος ἄκουε, σελ. 447: Βαρνάβας ὁ ἀπόστολος· »Οὐκοῦν οἱ συνετοὶ παρ' ἑαυτοῖς καὶ ἐνάπιον αὐτῶν ἐπισήμονες« προστάξας ἐπήγαγε »πνευματικοὶ γενώμεθα,« οὐδὲ ἐνταῦθα ᾔσθετό τις ὅτι γραπτέον προτάξας.

»Προαισθάσθαι δὲ τῶν πολλῶν καὶ τοῦ συμποσίου ὑπεξελθεῖν ἐπιεικῶς ἀνδρὸς σώφρονος.« σελ. 202. Τὸ ὑπεξελθεῖν τοῖς Ἕλλησιν οὐκ ἔστιν ἐν χρήσει, ὁ τυχὼν δὲ ὑπεξιέναι διορθώσει. Ἰσέον δὲ ὅτι πάντα ταῦτα ὑπὸ τῶν λίθου ἀναισθητοτέρων ἀντιγραφέων ἀεὶ συμφύρεται, οἷον σελ. 201: »εἰς ἀνδρῶν παρελθεῖν (παριέναι) συμπόσιον καὶ ταῦτα οἰνωμένων,« καὶ σελ. 105: »μετ' ὀλίγον ἀπελθεῖν (ἀπιέναι) προμηνύων,« καὶ σελ. 701: »ἐν τάξει προελθεῖν (προϊέναι) πρὸς τὴν Λάχεσιν,« καὶ σελ. 718: »ἀξύνετοι ἀκούσαντες κωφοῖς ἐοίκασι, φάτις αὐτοῖσι μαρτυρέει παρεόντας

ἀπιέναι." καὶ τοῦ ταῦτα γράψαντος ὁ νοῦς παρὼν ἀπεδήμει. Ἓν ἔτι προσθήσω σελ. 504: »οἱ νομοθέται οὐκ ἐπιτρέπουσι τὰς μεγίστας ἀρχὰς τοῖς μὴ γαμήσασι μετεῖναι." Εἰ μὲν τὸ »μετεῖναι" εὖ ἔχει »τῶν μεγίστων ἀρχῶν," γράφειν ἐχρῆν, εἰ δ' ὑγιῶς ἔχει, ὥσπερ ἔχει, τὸ »τὰς μεγίστας ἀρχάς," φανερὸν ὅτι »μετιέναι" ἀναγνωστέον. Καταφρονητέον οὖν καὶ ἐν τούτοις τῆς τῶν ἀντιγράφων μαρτυρίας· εἰ δὲ τοῦτ' ἐνενόησεν ὁ τοὺς τοῦ Πλουτάρχου παραλλήλους βίους ἐκδεδωκὼς Σιντενίσιος, οὐκ ἂν πιθόμενος ἀνθρώποις ἀνοήτοις πολλὰ τοιαῦτα σφάλματα τῷ Πλουτάρχῳ προσετρίψατο.

»Ἐγὼ δ' ἄν μοι δοκῶ καὶ μέτρον ἐπιθεῖναι φωνῇ τοῖς σώφροσιν, οἷς γε ἐφεῖται λαλεῖν, τὸν ἀντιδιαλεγόμενον." σελ. 203. Ἄξιον τούτοις παραβάλλειν τὰ ὑπὸ τοῦ Λαερτίου Διογένους γεγραμμένα ἐν τῷ τοῦ Καρνεάδου βίῳ Δ. § 65: »ἦν δὲ καὶ μεγαλοφωνότατος (ὁ Καρνεάδης) ὥστε τὸν γυμνασίαρχον προσπέμψαι αὐτῷ μὴ οὕτω βοᾶν· τὸν δὲ εἰπεῖν· καὶ δὸς μέτρον φωνῆς, ὅθεν εὐσχόχως ἑλόντα ἀμείψασθαι. φάναι γάρ· μέτρον ἔχεις τοὺς ἀκούοντας."

Περὶ δὲ συμμετρίας τῆς φωνῆς τάδε ἐπάγει· »τό τε γὰρ γεγωνὸν τῆς προφορᾶς μανιωδέστατον, τό τε ἀνήκουστον πρὸς τοὺς πέλας φθέγγεσθαι ἀναισθήτου· [οὐ γὰρ ἀκούσονται]." Ἔσι δὲ καὶ τὸ τὰ τοιαῦτα παρεμβάλλειν, οἶμαι, ἀναισθήτου τινός, ὁ δὲ Κλήμης ἀναίτιος.

»Οἱ δὲ δὴ γλύφοντες τοὺς ὀδόντας αἱμάσσοντες τὰ οὖλα σφίσι τε αὐτοῖς εἰσὶν ἀηδεῖς καὶ τοῖς πλησίον ἀπεχθεῖς" σελ. 204. Τὸ ἀπεχθεῖς λίαν ἐσὶ σκληρόν, βδελυττόμεθα γὰρ τοὺς τοιούτους ἀλλ' οὐκ ἔχθραν ἐπαναιρούμεθα εἴ τις τοὺς ὀδόντας γλύφει. Τί οὖν; Γραπτέον »ἐπαχθεῖς" διότι ἀχθόμεθα μόνον τοῖς τὰ τοιαῦτα βδελυρευομένοις, ἀλλ' οὐκ ἐχθροὶ γιγνόμεθα. Ἑόρακάς ποτε πῶς τὸ αχ καὶ τὸ εχ ἐν τοῖς ἀντιγράφοις ὅμοιά ἐσιν; Οὐδὲν σχεδὸν διαφέρει, ὅθεν τὸ ἄχθος καὶ τὸ ἔχθος ἀεὶ συγχεῖται καὶ τὰ παραπλήσια. Εἰ δὲ μὴ ἑόρακας, ὁ Βάσιός σε διδαξάτω ἐν τοῖς παλαιογραφικοῖς πίναξι τὰ τοιαῦτα πάντα εἰς τὸ ἀκριβέσατον ἐκτετυπωκώς. Ὁμοίως δὲ καὶ διὰ παντὸς τὸ αγ καὶ τὸ εγ συγκεχυμένα ὄψει, ὡς ἐν τῷ ἀγείρειν καὶ ἐγείρειν. Ὁμοιότατα δὲ καὶ τὸ ερ καὶ τὸ αρ ἀλλήλοις ὄντα πολλῶν σφαλμάτων αἴτια.

Πότερον ἄρχομαι ἢ ἔρχομαι γραπτέον ὁ νοῦς διδάσκει, οὐχὶ τὰ ἀντίγραφα. Καὶ ὁ μὲν Πλάτων ἐν τῷ Ἴωνι 533. C. ἀντὶ τοῦ νῦν ἐν πᾶσι περιφερομένου: »καὶ ἐρῶ, ὦ Ἴων, καὶ ἄρχομαί γέ σοι ἀποφαινόμενος ὅ μοι δοκεῖ τοῦτο εἶναι," φανερός ἐστι γράψας »ἔρχομαί γέ σοι ἀποφανούμενος," ὡς ἐν ἄλλοις ἔρχομαι ἐρῶν, σημανῶν, φράσων καὶ ἔρχεται ἀποθανούμενος, καὶ παρὰ τῷ Ἡροδότῳ B. 35 »ἔρχομαι δὲ περὶ Αἰγύπτου μηκυνέων τὸν λόγον." ἐκ τουναντίου δὲ ὁ Εὐσέβιος ἐν τῇ Προπαρασκευῇ 629 A. ἀντὶ τοῦ: »ἔρχομαι νῦν τὰ λείποντα προσαποδοῦναι τῷ λόγῳ" ἔγραψεν ἄρχομαι, σόλοικον γὰρ τὸ ἔρχομαι προσαποδοῦναι καὶ οἱ συρφετώδεις οὕτως ἔλεγον. μιμεῖται δὲ τοὺς παλαιοὺς ὁ Νουμήνιος (Εὐσεβ. Προπαρασκ. 729 B.) γράφων: »ἀλλ' οὐ γάρ τι ταῦτα διαιτήσων ἦλθον.".

»Μύρων ἄπειροι διαφοραὶ βρένθιον καὶ μετάλλιον καὶ βασίλειον, πλαγγόνιόν τε καὶ ψάγδας Αἰγυπτίας." σελ. 207. Ἐκαλεῖτο δὲ τὰ μύρα ταῦτα ΒΡΕΝΘΕΙΟΝ καὶ ΜΕΤΑΛΛΕΙΟΝ, ἀπὸ Σικελιώτου τινὸς Μεγάλλου ὠνομασμένον, τοῖς δὲ ἀντιγραφεῦσιν ἔθος ἐκεῖνο μὲν βρένθιον καλεῖν, τοῦτο δὲ Μεγαλεῖον καὶ Μέγαλλιον καὶ Μετάλλειον καὶ Μετάλλιον καὶ Μετάλιον, πάντα τρόπον ταλληθὲς διαστρέφουσιν. Αὐτὸς ὁ Ἡσύχιος ἀμφιγνοῶν πότερον Μεγάλλειον ἢ Μετάλλειον γραπτέον ἐνέκρινεν ἀμφότερα. Παρὰ δὲ τῷ Δειπνοσοφιστῇ σελ. 690 D. καὶ ἐξῆς κακῶς ἀεὶ γέγραπται Μεγάλλιον, οἷον·

ἔπειτ' ἀλείφειν τῷ Μεγαλλίῳ μύρῳ.

καὶ πάλιν·

μύροις Μεγαλλίοισι σῶμ' ἀλείφεται.

γέγραπται δ' ἐκεῖ καὶ βρένθιον κακῶς ἐν τοῖς τοῦ Φερεκράτους· »ἐγχέασθαι νῷν μύρον βρένθιον ἵνα τοῖς ἰοῦσιν ἐγχέῃ." Εὕρηκα δὲ ἐν τῷ παλαιῷ κατὰ τὴν Βενετίαν ἀντιγράφῳ εἰσιοῦσιν ἀντὶ τοῦ ἰοῦσιν γεγραμμένον, διορθωτέον δὲ ὧδε·

ἐγχέασθαι νῷν μύρον
βρένθιον ἵνα τοῖς εἰσιοῦσιν ἐγχέῃ.

Ὁ δὲ τὰ τοῦ Δειπνοσοφιστοῦ τοῖς τοῦ Κλήμεντος παραβαλὼν ῥᾳδίως κλοπὴν καταφωράσει· ἔχουσι γὰρ ἀμφότεροι τὰ αὐτά, ὁ μὲν Κλήμης σύντομα, ὁ δὲ Ἀθήναιος διὰ πολλῶν καὶ μετὰ πολλῶν μαρτυρίων εἰρημένα, ἐξ ὧν καὶ τοῦτο φανερὸν γίγνεται ὅτι παρὰ τῷ Κλήμεντι γραπτέον ψάγδας Αἰγύπτιος, ἀλλ' οὐχὶ

Αἰγυπτίας. Ἔσφαλται δὲ παρ' ἀμφοτέροις τὸ Πλαγγόνιον μύρον ὁμοίως τῷ Μεγαλλίῳ. Πλαγγόνειον γὰρ ἐκαλεῖτο. Καθόλου δὲ ὅσα ὁ Κλήμης περὶ τῆς σεφάνων καὶ μύρων χρήσεως συνέγραψε τούτων τὰ πλείστα παρ' ἑνός γέ του τῶν παλαιῶν μετέγραψεν, ὡς πᾶσι φανερὸν γενήσεται ἔκ τε τῶν τοῦ Δειπνοσοφιστοῦ ἐν τῇ ΙΕ καὶ τῶν Συμποσιακῶν τῶν τοῦ Πλουτάρχου. Μηδεὶς οὖν ὑπολάβῃ τὸν Κλήμεντα ἢ τὰ τοῦ Σιμωνίδου ἀνεγνωκέναι ἢ τὰ τοῦ Ἀλέξιδος ἢ τὰ τῶν ἄλλων Κωμικῶν, ὧν ἑκάστοτε ῥήσεις τινὰς καὶ μαρτυρίας παρατίθεται, εὑρήσει γὰρ τὰς αὐτὰς πάλαι ἑτέροις τισὶ προεξειλεγμένας καὶ φανήσεται ὁ Κλήμης ὁ πᾶσι πικρῶς κλοπὴν ὀνειδίζων αὐτὸς ὢν πάντων παραπολὺ κλεπτίστατος.

»Οὐ γὰρ θέμις δολερὰ εἵματα καὶ χρίσματα εἰς τὴν ἀληθείας παρεισιέναι πόλιν.'' σελ. 208. Πάλιν τοῖς αὐτοῖς χρῆται σελ. 344: »εἴ γε τὴν τρυφὴν ὡς δολεράν τε καὶ ἄσωτον παραιτοίμεθα καθάπερ τὸ μύρον καὶ τὴν πορφύραν οἱ παλαιοὶ Λακεδαιμόνιοι δολερὰ μὲν τὰ ἵματα, δολερὰ δὲ τὰ χρίματα ὑπολαβόντες ὀρθῶς καὶ ὀνομάσαντες.'' Μνημονικὸν τοῦ Κλήμεντος σφάλμα ὁρᾷς, οὐ γὰρ οἱ Λακεδαιμόνιοι ταῦτ' εἶπον, ἀλλ' οἱ Αἰθίοπες πρὸς τοὺς παρὰ Καμβύσου πρέσβεις, ὡς ἐν τῇ τρίτῃ κεφ. 22 ἀκριβέστατα ὁ Ἡρόδοτος ἱστόρηκε. Παρέλαβε δὲ ταῦτα ὁ Κλήμης οὐ παρὰ τοῦ Ἡροδότου, ἀλλὰ παρὰ τοῦ Πλουτάρχου, παρ' ᾧ ἐν τοῖς καλουμένοις Αἰθικοῖς τρὶς κεῖται, ἔν τε τοῖς Ῥωμαϊκοῖς Ζητήμασι σελ. 270 F: »δολερὰ μὲν τὰ εἵματα, δολερὰ δὲ τὰ χρώματα,'' καὶ ἐν τοῖς Συμποσιακοῖς σελ. 646 B: »τὸ μὲν μύρον εἰκότως ὑποδυσωπούμεθα καὶ τὴν πορφύραν — ὡς δολερὰ εἵματα καὶ χρίσματα,'' καὶ ἐν τῷ Περὶ τῆς Ἡροδότου κακοηθείας σελ. 863 E: »αὐτὸς τὸν Αἰθιοπά φησι πρὸς τὰ μύρα καὶ τὴν πορφύραν εἰπεῖν, ὡς δολερὰ μὲν τὰ ἀλείμματα, δολερὰ δὲ τὰ εἵματα τῶν Περσέων ἐστί.'' Ἐν τούτοις τὸ μὲν χρώματα ἔσφαλται, τὸ δὲ χρίσματα νεωτερικόν ἐστιν, ἡμάρτηται δὲ καὶ τὸ ἵματα ἀντὶ τοῦ εἵματα. Τοῖς παλαιοῖς μόνον τὸ κέχριμαι ἐν χρήσει ἦν μακρὸν τὸ Ι ἔχον καὶ κεχρῖσθαι καὶ κεχριμένος, ὅθεν τὸ χρῖμα καὶ τὰ δολερὰ χρίματα, οἱ δὲ μεταγενέστεροι κέχρισμαι ἔλεγον καὶ κεχρίσθαι καὶ χρίσμα. Ὁρῶμεν δὲ τοὺς ἀντιγραφέας ὡς εἰκὸς τὰ τῶν μεταγενεστέρων τοῖς παλαιοῖς προστριβομένους ἑκάστοτε ἀλλὰ, σαφέστατον γὰρ τὸ πρᾶγμα, οὐδένα ἔτι τοῦ λοιποῦ ἐξαπατήσουσιν.

»Ὥσπερ δὲ τὴν τρυφὴν καὶ τῆς γεύσεως ἀποκεκλείκαμεν, οὕτως ἀμέλει καὶ τῶν ὄψεων καὶ τῶν ὀσφρήσεων τὴν ἡδυπάθειαν ἐξορίζομεν μὴ λάθωμεν ἣν ἐφυγαδεύσαμεν ἀκολασίαν κάθοδον αὐτῇ διδόντες εἰς ψυχὴν διὰ τῶν αἰσθήσεων οἱονεὶ διὰ θυρῶν ἀφρουρήτων.« σελ. 208. Κομψῶς ταῦτα καὶ γλαφυρῶς τῷ Κλήμεντι πέφρασται πλὴν ἑνός. Ἔσφαλται γὰρ περιφανῶς τὸ ἀποκεκλείκαμεν ἀπᾷδον ὁμοίως τῆς τε εἰκόνος καὶ τῆς τῶν λεγομένων διανοίας. Ῥᾴστη δὲ καὶ ἐναργεστάτη ἡ διόρθωσις· γραπτέον γάρ· ἀποκεκλείκαμεν ἀντὶ τοῦ κεκλείκαμεν τὴν θύραν καὶ ἐκωλύσαμεν παρελθεῖν καὶ πάροδον οὐ δεδώκαμεν. Κομψῶς δὲ τῇ εἰκόνι ἐμμείνας Φησὶν ἐξορίζομεν, ἐφυγαδεύσαμεν, κάθοδον διδόντες — διὰ θυρῶν ἀφρουρήτων. Ὅτι δὲ ἀντὶ τοῦ Ι ἕξεσι πᾶσι παντᾳχοῦ τὴν ΕΙ γράφειν καὶ ἀνάπαλιν καὶ οὐδὲν ἔν γε τοῖς τοιούτοις τῶν ἀντιγράφων Φροντιστέον ἱκανῶς μοι προδεδεῖχθαι νομίζω. Φέρεται ἐν πᾶσι τοῖς ἀντιγράφοις σελ. 221 »τὸν λαγὼν — εἰς ἀριθμοὺς οἷς βεβίωκεν ἔτεσιν ἴσχοντα τρύπας« ἀντὶ τοῦ ἰσαρίθμους, καὶ τῶν τούτῳ παραπλησίων σφαλμάτων πάντα μεστά. Χρῆται δὲ ὁμοίως τῷ ἀποκλείειν ὁ Κλήμης καὶ ἀλλαχοῦ οἷον σελ. 302: »οὐ γὰρ τὸ καθαρεύειν μόνον ἀπόχρη τοῖς σώφρουσιν ἀλλὰ καὶ τὸ ἐκτὸς εἶναι τοῦ ψόγου σπουδαστέον πᾶσαν ἀποκλείσαντας ὑπονοίας αἰτίαν.« Τοὐναντίον δὲ τούτου σελ. 280 γέγραπται διὰ τούτων: »ὡς μὴ — πλατείας ἀναπετάσῃ κλισιάδας τοῖς εἰς ἡδυπάθειαν Φερομένοις.« Προδότειον δὲ τοῦτο (Θ. 9): »μεγάλαι κλισιάδες ἀναπεπτέαται ἐς τὴν Πελοπόννησον τῷ Πέρσῃ.« ὅπερ χαριέντως εἰρημένον πολλοὶ ἀπεμιμήσαντο, ὡς περὶ Ἀλκιβιάδου λέγων ὁ Πλούταρχος (Ἀλκιβ. 10): »μεγάλας δ' αὐτῷ κλισιάδας ἐπὶ τὴν πολιτείαν ἀνοίγοντος τοῦ τε γένους καὶ τοῦ πλούτου.«

Ἀποφαίνεται ὁ Κλήμης σελ. 209 ὅτι καὶ σώφρων τις ἐσὶ τῶν μύρων χρῆσις. »εἰσὶ γάρ τινες εὐωδίαι (Φησὶν) ὑγιειναὶ μετὰ σωφροσύνης καὶ τὸν μὲν ἐγκέφαλον ὑποτρέφουσαι, ὀπηνίκ' ἂν κακχεκτῇ, ῥωννύουσαι δὲ καὶ τὸν στόμαχον· πολλοῦ τοίνυν δεῖ τοῖς ἄνθεσιν ἐπιψύχειν αὐτὸν ὁπότε λεαίνεσθαι ἐθέλει τὸ νευρῶδες.« Οὐδείς ποτε Φροντίζων ἐξευρήσει τί ποτε ἐν τοιούτοις βούλεται τὸ λεαίνεσθαι. Ἡ δὲ διάνοια ἀπαιτεῖ »θερμαίνεσθαι.« Πρόσθες οὖν ἓν μόνον γράμμα καὶ ἕξεις τἀληθές· »ὁπότε ἀλεαίνεσθαι ἐθέλει.« Χρῆται δὲ ὁ Κλήμης τοῖς τε ὀνόμασιν ἀλέα (σελ. 281)

οὖν, ὡς καὶ τυφλῷ δῆλον »πρῶτον ἡ τῶν ἄθλων δόσις ἦν,« ὅπερ πάλαι μὲν τῷ Φερραρίῳ ἐξεύρηται, χρῆται δὲ τῷ ἐξευρήματι οὐδείς, ἀλλὰ τῶν ἐκδοτῶν ἕκαστος

οἴνου παρόντος ὄξος ἡράσθη λαβεῖν.

Περίεσι δὲ καὶ τρίτον πταῖσμα, ὅπερ ὁ αὐτὸς Φερράριος συνιδὼν ὅμως οὐ διώρθωσεν, ἀλλὰ, τὸ δὴ λεγόμενον, κακῷ τὸ κακὸν ἰάσατο. Φέρεται γὰρ ἐν πᾶσι τοῖς ἀντιγράφοις ἡ γραφὴ ἥδε· »δεύτερον δὲ ὁ ἐπεγερμὸς,« ὁ δὲ ἐπεγερμὸς οὗτος οὐδέν ἐστιν ὥσπερ οὐδὲ ὁ ἐπαγερμός, ὃν ἔπλασεν ὁ Φερράριος, οὐδεὶς δὲ τῶν Ἑλλήνων οἶδεν, ἀλλ' ἤτοι ἀγείρειν ἔλεγον ἢ περιαγείρεσθαι, ὧν τῷ μὲν ἄλλοι τε πολλοὶ ἐχρήσαντο καὶ ὁ Ἐρατοσθένης ἐν τοῖς εἰς Εὐριπίδου Ἑκάβην σχολίοις σίχ. 569 διὰ τούτων· »σύνηθες ἦν κύκλῳ περινοστοῦντας ἀγείρειν τὰ διδόμενα,« τῷ δὲ ὁ Πλάτων ἐπὶ τέλει τῆς Πολιτείας οὕτω γράφων »ἐπειδὰν τὰ ἆθλα αὐτῆς κομιζώμεθα ὥσπερ οἱ νικηφόροι περιαγειρόμενοι,« δι' ἑνὸς ῥήματος πάνυ κομψῶς εἰπὼν ἀντὶ τοῦ κύκλῳ περινοστοῦντες καὶ ἀγείροντες. Οὐκοῦν ἤτοι ἀγερμός ἐκαλεῖτο τὸ πρᾶγμα ἢ περιαγερμός, πλανηθεὶς δέ τις ἐκ τῆς τῶν σημειογράφων γραφῆς παγερμός τὴν ἐπὶ καὶ τὴν περί, ὥσπερ τούτοις ἔθος, διαλλάξας ἀντὶ τοῦ »δεύτερον δὲ ὁ περιαγερμός« ἔδωκεν ἡμῖν τὸ ἐπαγερμός, ἡμεῖς δὲ οὐ δεχόμεθα. Ἀνάγνωθί μοι τὰ τῷ Ῥουγκενίῳ γεγραμμένα πρὸς Τίμαιον σελ. 216 μάλιστα δὲ πρόσεχε τοῖς ἐν τῇ τοῦ Βεκκέρου Λέξεων Χρησίμων Συναγωγῇ σελ. 331, 15. καί μοι ὁμολογήσεις τὸ ἐπαγείρειν Ὁμήρῳ μὲν εἶναι ἐν χρήσει, τοῖς δ' ἄλλοις Ἕλλησιν οὐκέτι.

»Τὸ ῥέγχειν τοῖς σφώμασιν ἐνειλημμένον« σελ. 219. Τί γραπτέον ἀντὶ τοῦ ἐνειλημμένον; Οὐδὲ γὰρ ὅλως ἑλληνικὸν τὸ ῥῆμα. Σὺ μὲν, ὦ βέλτιστε, παραχρῆμα ἐξευρήσεις, εἰ δέ τις ἀμφιγνοεῖ ἐπισκεψάσθω μοι τὸ εἰρημένον σελ. 238· »τὸ κάλλος μὴ ἐνειλούμενον ἀπειροκάλοις φλυκρίκις.« Ὀλίγου δέω λέγειν ὅτι ὅπου ἂν φανῇ τὸ ἐνειλημένον, κατειλημένον, περιειλημένον κτλ. ἀεὶ τὸ αὐτὸ ἁμάρτημα ὄψει.

»Ἐλευθεροῦται μὲν τῆς ξενοχωρίας τὸ πνεῦμα φερόμενον δι' εὐρυχώρων τῶν τέως μεμυκότων [ἀρτηριῶν].« σελ. 221. Ἐγέγραπτο, οἶμαι »τῶν ἀρτηριῶν,« ἐξαλειπτέον δὲ ταῦτα, ὡς ὑπό τινος παρεγγεγραμμένα ἐκ τῶν προηγουμένων »πυκνούμεναι (αἱ) ἀρτηρίαι

προσαναθλίβουσι τὸ πνεῦμα.'' Κἀνταῦθα γὰρ ἀπόλωλε τὸ ἄρθρον.

Σμικρόν τι πταῖσμα σελ. 228 οὐκ ἐθέλω ἀδιόρθωτον παραλιπεῖν ἐν τοῖσδε: »οὐ γὰρ ἔσιν οὐκέτι σεμνὸν παρ' ἐκείνῃ νομισθῆναι κτέ.'' Ἀναρμοσεῖ τῷ λόγῳ τὸ οὐκέτι, σὺ δὲ γράφε: »οὐ γὰρ ἔσιν, οὐκ ἔσι σεμνὸν π. ἐ. ν. »Οὕτω γὰρ ὁ Κλήμης θερμότερόν πως εἴωθε γράφειν, ὡς σελ. 262: »οὐ γὰρ δεινόν, οὐ δεινὸν γέροντ' ἂν δοκεῖν κτέ.'' καὶ μετ' ὀλίγα: »οὐκ ἔσι δέ, οὐκ ἔσιν ἀληθινὴν ἐνδεικνύναι τὴν ψυχὴν τὸν κίβδηλον ἔχοντα κεφαλήν.'' καὶ ἀλλαχοῦ.

»Τί οὖν ὡραιότερον καὶ εὐανθέσερον ἀνθέων; τί δὲ ἐπιτερπέσερον κρίνων ἢ μύρων ἢ ῥόδων;'' σελ. 231. Ἀλλὰ περὶ ἀνθέων μόνων ὁ λόγος, ὦπαῖ, καὶ τὸ »μύρων'' ἀπᾴδει. Ἀντιγραφέων ἁμάρτημα ὁρᾷς, ὁ δὲ Κλήμης ἀναίτιος· ἔγραψε γάρ »κρίνων ἢ λειρίων ἢ ῥόδων,'' ὡς σελ. 215 »σούσινον μὲν ἐκ κρίνων καὶ λιρίων (λειρίων).'' Τὸ δὲ λι καὶ μ ἐν τοῖς ἀντιγράφοις οὐδὲν διαφέροντα καὶ τοῦτο τὸ σφάλμα ἡμῖν τέτοκεν.

»Εἰ δὲ ὅλως ζητητικοὶ γεγόναμεν μὴ εἰς τρυφὴν τὸ ζητητικὸν ἀπολύωμεν ἀλλ' εἰς τὴν εὕρεσιν τῆς ἀληθείας ἀναζωπυρῶμεν'' σελ. 232. Σὺ δὲ εἰ ζητητικὸς εἶ ζήτει μοι τὸ ἐν τούτοις ἐσφαλμένον. Ἐὰν δὲ τὸ ζητητικὸν ἀπολύσῃς (τουτέσιν ἀπὸ σαυτοῦ ἀποπέμψῃς) εὑρήσεις τὸ παράπαν οὐδέν. Ἤδη οἶμαι συνορᾷς ὅτι ἀναγνωσέον διὰ δύο λλ »ἀπολλύωμεν.''

»Πρὶν ἢ τέλεον καταδραθεῖν.'' σελ. 233. Πάντα τρόπον τὸ ἀναίσθητον τῶν ἀντιγραφέων ἔθνος τὸ Ἀττικὸν κατέδαρθον, καταδαρθεῖν, καταδαρθών, καταδαρθόντα κτλ. διαλυμαίνεται. Λύτὸς περὶ τούτου ἤδη εἴρηκας, ἔχεις δὲ νῦν ἐν πλέον παράδειγμα. Ἔσφηλε δὲ αὐτοὺς τὰ Ὁμηρικὰ κατέδραθον, καταδράθω, παραδραθέειν, καὶ τὰ τούτοις ὅμοια.

Εἰπὼν ὁ Κλήμης σελ. 234 ὅτι ἀνδράσι καὶ γυναιξὶ »τὰ σκέποντα παραπλήσια εἶναι χρή,'' εὐθὺς ἐπάγει τάδε· »εἰ δὲ καὶ σκέπην ταύτην παραληπτέον καθ' ἣν κρύπτειν ὄμματα θηλειῶν χρεών.'' Ταῦτα παντελῶς ἐσὶν ἀδιανόητα, ἀπόλωλε δὲ τούτων ὁ

νοῦς διὰ τὸ τῶν ῥημάτων οὐκ ὀλίγα ἀπολωλέναι. Κἀμοὶ μὲν ἀνάπληρωτέα ὧδέ πως δοκεῖ· »εἰ δὲ καὶ σκέπην (ἄλλην μὲν ἀνδράσιν ἄλλην δὲ γυναιξὶν ἀπονεμητέον, τοῖς μὲν ἀνδράσι σκέπην) ταύτην παραληπτέον καθ' ἣν κρύπτειν ὄμματα θηλειῶν χρεών." Διὸ γεγραμμένον τὸ σκέπην τὸν μεταγράφοντα ἔσφηλε καὶ ἀπὸ τοῦ προτέρου εἰς τὸ ὕστερον ἀπεπλανήθη. Κοινότατον τὸ πάθος πᾶσι τοῖς μεταγράφουσιν »εὐδούσῃ φρενί," κατὰ τὸν Σοφοκλέα. Πρὸς τὰ τελευταῖα ἐν τοῖς ἀντιγράφοις τάδε παραγέγραπται· »Τοῦτο μεταπεποίηται ἀπὸ τοῦ τραγικοῦ." Καλῶς λέγεις, ὅστις εἶ, ὕπεστι γὰρ τὰ περιβόητα·

πολλὴν πρόνοιαν ἔσχεν εὐσχήμως πεσεῖν,
κρύπτουσ', ἃ κρύπτειν ὄμματ' ἀρσένων χρεών.

»Λευκαῖς καὶ ἀπεριέργοις ἐσθήσεσι χρῆσθαι" σελ. 234. κακῶς ἀντὶ τοῦ ἐσθῆσι. Εἰ ἔστιν ὄντως Ἑλληνικὸν ὄνομα τὸ ἔσθησις, ὅπερ ἐμοὶ οὐ φαίνεται, σημαίνει ταὐτὸν τῷ στολισμῷ, πάντα ἅ τις ἐνδέδυκεν, ὡς ὑπόδεσις, ὅπλισις καὶ τὰ παραπλήσια. Εὐεπίφοροι δ' εἰς τὸ πταῖσμα τοῦτο οἱ ἀντιγραφεῖς, ὡς ἐν τοῖς τοῦ Μουσωνίου (Στοβ. Ἀνθολ. I. 84): »ἐσθήσεσι πολλαῖς κατασκέπειν τὸ σῶμα," καὶ ἐν τῷ κατὰ Λουκᾶν εὐαγγελίῳ ΚΔ. 4. »δύο ἄνδρες ἐπέστησαν αὐτοῖς ἐν ἐσθήσεσιν ἀστραπτούσαις." Ὅπου δ' ἂν φανῇ ὡς βάρβαρον ὂν ἐκβλητέον.

»Βάμμα γοῦν Σαρδηνιακὸν καὶ ῥοδομιγὲς καὶ κοκκοβαφὲς — ἐπινενόηται." σελ. 235. Τὸ φοινικοῦν βάμμα τὸ ἀπὸ Σάρδεων λέγει· τῶν δὲ Σάρδεων τὸ μὲν ἐθνικὸν Σαρδιανός, τὸ δὲ κτητικὸν Σαρδιανικός, ὡς ἐν τοῖς Ἀχαρνεῦσιν (112):

ἵνα μή σε βάψω βάμμα Σαρδιανικόν.

καὶ ἐν τῇ Εἰρήνῃ (1174) (ἡ φοινικίς)

ἣν ἐκεῖνός φησιν εἶναι βάμμα Σαρδιανικόν.

καὶ τῷ Κλήμεντι τοίνυν τοῦτο ἀπόδος.

»Εἰ δὲ καὶ ὑφῆναι χρὴ τοῦτον διὰ τὰς γυναῖκας ἡδεῖαν τὴν ἐσθῆτα καὶ προσηνῆ πρὸς τὴν ἁφὴν ἐξυφαντέον," σελ. 237. Ἐν τοῖς ἱματίοις ὅ, τι ποτ' ἐστὶ τὸ ἡδύ οὐδεὶς ἂν εἴποι, ὥσπερ οὐδὲ τὸ γλυκύ. Ἐπαινεῖται δὲ τῶν ἱματίων τὰ μαλακὰ, τὰ δὲ τραχέα τοῖς ἀγροικοτέροις ἐν χρήσει. Ἀναγνωσέον οὖν »ΛΕΙΑΝ (λείαν) τὴν ἐσθῆτα — ἐξυφαντέον." Ἀντίκειται γὰρ ἐν πᾶσι τοῖς τραχέσι τὰ λεῖα, ὡς ἐν τῷ·

τρεῖς εἰσὶν ἱκανοὶ πρωκτὸν ἀπομάξαι λίθοι.
ἂν ὦσι τραχεῖς, ἂν δὲ λεῖοι τέτταρες.

Ἐπαινέσας ὁ Κλήμης τὸ λιτὸν καὶ ἀπέριττον τοῦ ἐνδύματος, ᾧ Ἰωάννης τε ὁ βαπτιστὴς καὶ Ἠλίας ἠρκοῦντο, ἐπάγει τάδε σελ. 237: »Ἡσαΐας δὲ [ἄλλος οὗτος προφήτης] γυμνός τε καὶ ἀνυπόδετος ἦν.« Ὅτι τὰ ὑφ' ἡμῶν περιγεγραμμένα οὐκ ἔξι τοῦ Κλήμεντος τί δεῖ καὶ λέγειν;

Γελῶμεν ἐνίοτε τῶν καθ' ἡμᾶς γυναίων τὸ μωρὸν καὶ ἀνόητον ὁρῶντες αὐτὰς ποδήρεσιν ἐσθῆσι πολὺν πηλὸν καὶ ἄλλην ἀκαθαρσίαν ἐκ τῶν ὁδῶν ἐπισυρομένας, ἦσαν δ' ἄρα πάλαι καὶ οἱ ἄνδρες οὐδὲν σωφρονέστεροι, ὡς δηλοῖ ὁ Κλήμης διὰ τῶνδε σελ. 238: »τὸ δὲ καὶ σύρειν τὰς ἐσθῆτας ἐπ' ἄκρους καθιέντας τοὺς πόδας κομιδῇ ἀλαζονικὸν ἐμποδὼν τῇ ἐνεργείᾳ τοῦ περιπατεῖν γινόμενον καλλύντρου δίκην ἐπισυρομένης τῆς ἐσθῆτος τὰς ἐπιπολαίους τῆς γῆς ἀχυρμιάς.« Ἀγείως πάνυ ταῦτα καὶ χαριέντως τῷ Κλήμεντι πέφρασαι, σαίρουσι γὰρ καὶ αἱ παρ' ἡμῖν ὥσπερ κορήμασι τῇ ἐσθῆτι τὰς ὁδοὺς καὶ πηλοῦ ἀνάπλεῳ σοβοῦσαι ἀβρύνονται.

»Οὐ γὰρ ἁρμόζει γυμνὸν ἐπιδείκνυσθαι (τῆς γυναικὸς) τὸν πόδα, ἄλλως τε καὶ εὐαίσθητον εἰς βλάβην ἡ γυνή.« σελ. 240. Καλὸν καὶ γενναῖον καὶ χρήσιμον εἰς ἅπαν ἔργον ἡ εὐαισθησία, τὸ δὲ »εὐαίσθητον εἰς βλάβην« ἀδιανόητόν ἐξι. Συνεχύθη δύο γράμματα δυσδιάκριτα, τὸ Λ καὶ τὸ Α, ἓν δὲ παραπώλετο. Γραπτέον γὰρ »ΘΤΟΛΙCΘΗΤΟΝ, εὐολίσθητον εἰς βλάβην ἡ γυνή.« Οὕτω γὰρ λέγουσιν »εἰς κακόν τι, εἰς βλάβην, εἰς ἁμαρτίαν ὀλισθάνειν,« καὶ παροιμία ἐξὶ δημώδης· »κρεῖττον τῷ ποδὶ ἢ τῇ γλώττῃ ὀλισθεῖν.« Κομψῶς οὖν καὶ ἀγείως ὁ Κλήμης περὶ τοῦ τῆς γυναικὸς ποδὸς λέγων ἐπιφέρει »ἄλλως τε καὶ εὐολίσθητον εἰς βλάβην ἡ γυνή.«

Πολλὰ τῶν ὑπὸ τοῦ Κλήμεντος ἐν τῷ Παιδαγωγῷ γεγραμμένων ἐκ τῶν τοῦ Μουσωνίου μεταγέγραπται, ὧν μικρὰ μέρη ἐν τῷ τοῦ Στοβαίου Ἀνθολογίῳ ἡμῖν σώζεται. Ὁ Ῥουγκένιος πρὸς Τίμαιον ἐν τῷ Σισύρα παραβέμενος τὰ τοῦ Κλήμεντος (σελ. 190): »τῆς δὲ σισύρας ἱκανωτάτης οὔσης ὑπεσρῶσθαι ὥστε μὴ δεῖσθαι πορφυρίδων ἢ φοινικίδων.« τάδε ἐπισημειοῦται: »Τοῦτο δέ, ὡς ἄλλα

πλείω, ὁ λογιώτατος Κλήμης οὐδὲ ἓν ῥῆμα ἀλλάξας μετέγραψεν ἐκ τῶν τοῦ Μουσωνίου παρὰ τῷ Στοβ. (Ἀνθολ. ΠΘ. 20). Ἐποίησε δὲ τοῦτο καὶ ἀλλαχοῦ ὥςε θαυμάζειν ἐμὲ πῶς τὸ κλέμμα τοῦτο διέλαθε." Διέλαθε μὲν δὴ τοῦτό γε τὸ κλέμμα τὸν Πόττερον, καὶ γὰρ τὸ τοῦ λόγου »εἷς ἀνὴρ οὐ πάνυ' ὁρᾷ," πλείςας δὲ ἄλλας τοῦ Κλήμεντος κλοπὰς ὁ Πόττερος ἀκριβῶς καταφωράσας ἐξήλεγξεν, ὧν ὀλίγα τινὰ παραδείγματα ὑπογράψω, ἵν' ὁ πᾶσι τοῖς Ἕλλησιν ἀεὶ πικρῶς κλοπὴν ὀνειδίζων αὐτὸς κλεπτίστατος ὢν φανῇ. Ἀντανάγνωθι δή μοι τάδε·

Κλήμης σελ. 240.

ἀνδρὶ δὲ εὖ μάλα ἁρμόδιον ἀνυποδησία. καὶ γάρ πως ἐγγὺς τὸ ὑποδεδέσθαι τῷ δεδέσθαι. ἀσκητικώτατόν γέ τοι γυμνοῖς χρῆσθαι τοῖς ποσὶ καὶ πρὸς ὑγίειαν καὶ εὐκολίαν εὔθετον.

Μουσώνιος (Στοβ. Ἀνθολ. Α. 84).

καὶ τοῦ γε ὑποδεδέσθαι τὸ ἀνυποδητεῖν τῷ δυναμένῳ κρεῖττον. κινδυνεύει γὰρ τὸ μὲν ὑποδεδέσθαι τῷ δεδέσθαι ἐγγὺς εἶναι. ἡ δ' ἀνυποδησία πολλὴν εὐλυσίαν τινὰ καὶ εὐκολίαν παρέχει τοῖς ποσὶν ὅταν ἠσκημένοι ὦσιν.

Κρείττω δὲ τὰ τοῦ Μουσωνίου, τὰ δὲ τοῦ Κλήμεντος ὡς ἀπόγραφον ἐξ ἀρχετύπου δευτερεύει. Θέασαι δέ μοι καὶ ἕτερον.

Κλήμης σελ. 243.

πόσῳ μὲν γὰρ εὐκλεέςερον τοῦ πολυτελῶς οἰκεῖν τὸ πολλοὺς εὐεργετεῖν; πόσῳ δὲ συνετώτερον τοῦ εἰς λίθους καὶ χρυσίον τὸ εἰς ἀνθρώπους ἀναλίσκειν; πόσῳ δὲ ὠφελιμώτερον τῶν ἀψύχων κοσμίων τὸ φίλους κεκτῆσθαι κοσμίους; τίνα δ' ἂν ἀγροὶ τοσοῦτον ὅσον τὸ χαρίζεσθαι ὠφελήσειαν;

Μουσώνιος (Στοβ. Ἀνθολ. Α. 84).

πόσῳ μὲν εὐκλεέςερον τοῦ πολυτελῶς οἰκεῖν τὸ πολλοὺς εὐεργετεῖν; πόσῳ δὲ καλοκαγαθικώτερον τοῦ [ἀναλίσκειν] εἰς ξύλα καὶ λίθους τὸ εἰς ἀνθρώπους ἀναλίσκειν; πόσῳ δὲ ὠφελιμώτερον τοῦ περιβεβλῆσθαι μεγάλην οἰκίαν τὸ κεκτῆσθαι Φίλους πολλούς; ὃ περιγίγνεται τῷ προθύμως εὐεργετοῦντι. Τί δ' ἂν ἔνκαιτό τις τηλικοῦτον ἀπ' οἰκίας μεγέθους τε καὶ κάλλους ἡλίκον ἀπὸ τοῦ χαρίζεσθαι πόλει καὶ πολίταις ἐκ τῶν ἑαυτοῦ.

Φέρε δὴ καὶ τρίτον τούτοις προσθῶμεν.

Κλήμης σελ. 166.

ἐπεὶ μηδὲ ὠφελεῖσθαι πέφυκε τὰ σώματα ἐκ τῆς πολυτελείας τῶν

Μουσώνιος (Στοβ. Ἀνθολ. III. 38).

καὶ ταῦτ' οὐδαμῶς ὠφελουμένων τῶν σωμάτων ἐκ τῆς πολυτελείας

βρωμάτων. πᾶν γὰρ τοὐναντίον οἱ ταῖς εὐτελεστάταις χρώμενοι τροφαῖς ἰσχυρότατοί εἰσι καὶ ὑγιεινότατοι καὶ γενναιότατοι ὡς οἰκέται δεσποτῶν καὶ γεωργοὶ κτητόρων.

τῶν βρωμάτων. πᾶν γὰρ τοὐναντίον οἱ ταῖς εὐτελεστάταις χρώμενοι τροφαῖς ἰσχυρότατοί εἰσι. τοὺς γὰρ οἰκέτας τῶν δεσποτῶν καὶ τοὺς χωρίτας τῶν ἀφικῶν — ἴδοις ἂν ῥωμαλεωτέρους ὄντας.

Ὡσαύτως δὲ καὶ ἐν τοῖς ἑξῆς οὐκ ὀλίγα τῶν τοῦ Μουσωνίου τοῖς τοῦ Κλήμεντος ἐγκαταμέμικται. Ἕτερα δὲ πολλὰ τοιαῦτα ὁ Πόττερος ἐμήνυσε σελ. 171, 172, 174 καὶ ἀλλαχοῦ. Οὐκ ὀλίγα δὲ τῶν χαριέντως ὑπὸ τοῦ Κλήμεντος εἰρῆσθαι καὶ πεφράσθαι δοκούντων ἀλλότρια ὄντα φανήσεται, οἷον τὸ σελ. 169 εἰρημένον: »κομιδῇ δὲ ἄλογον βοσκημάτων δίκην τρέφεσθαι — μόνην κολακεύοντας τὴν κατάποσιν, δι' ἣν πολυτιμότεροι γεγόνασι μάγειροι γεωργῶν.« Σὺ δέ μοι τοῦ Μουσωνίου ἀντάκουε (Στοβ. Ἀνθολ. III. 38) τάδε λέγοντος: »μάγειροι δὲ γεωργῶν περισπουδαστότεροί εἰσι, δεῖπνα δὲ παρατίθενταί τινες ἀγρῶν ἀναλίσκοντες τιμάς.« Ἔστι δὲ τοῦτο, ὡς ἐμοὶ δοκεῖ, οὔτε μίμησις οὔτε συνέμπτωσις, ἀλλ', εἰ χρὴ τἀληθὲς εἰπεῖν, ἄντικρυς κλοπή. Ἰσέον δὲ ὅτι τὸ τοῦ Μουσωνίου ἔνομα οὐδαμοῦ ἐν τοῖς τοῦ Κλήμεντος φαίνεται.

Σφαλμάτιόν τι διέλαθε σελ. 242 ἐν τοῖσδε: »(ὁ Θεὸς) τὰ ἀναγκαῖα καθάπερ τὸ ὕδωρ καὶ τὸν ἀέρα προφανῆ πᾶσι χορηγεῖται, τὰ δὲ ὅσα μὴ ἀναγκαῖα — ἔκρυψεν.« Ἡμεῖς μὲν γὰρ οἱ ἄνθρωποι ταῦτα ὑπὸ τοῦ Θεοῦ χορηγούμεθα, ὁ δὲ Θεὸς χορηγεῖ. Ἐπλάνησε δὲ τὸν ἀντιγραφέα ἡ παλαιὰ γραφή ΧΟΡΗΓΕΙΤΑΔΕ. Μετ' ὀλίγα δὲ ἀντὶ τοῦ »ὅλος ἀνάπτεται ὁ οὐρανός« ἄριστα διώρθωσεν ὁ Πόττερος ἀναπέπταται.

Νουθετῶν ὁ Κλήμης σελ. 242 τὰς γυναῖκας τὰς περὶ τοὺς τιμίους λίθους ἐπτοημένας γράφει καὶ τάδε: »αἱ δὲ — ὅλαι περικεχήνασι τοῖς λίθοις τὸν θαυμάσιον ἐκεῖνον ἀπολογισμὸν προφερόμεναι· ὃν καὶ ἔδειξεν ὁ θεὸς διὰ τί μὴ χρήσομαι;« Περιττὸς ὁ καί ἐν τῷ »ὃν καὶ ἔδειξεν ὁ θεός,« οὐ γάρ; σὺ δὲ μετάγραφέ μοι »ὃν κατέδειξεν ὁ θεός.« ἔπειτα δὲ ἀντὶ τοῦ »διὰ τί μὴ χρήσομαι;« πάντως ἀναγνωστέον χρήσωμαι, ὡς σελ. 243: »πάρεστι μοι, διὰ τί μὴ μεταδῶ τοῖς δεομένοις;« ὁ δὲ τοῦ Μενάνδρου Φιλάργυρος οὕτω φησί·

τάλαντον ἡ προίξ· μὴ λάβω; ζῆν δ' ἔστι μοι
τάλαντον ὑπεριδόντι; τεύξομαι δ' ὕπνου
προέμενος; οὐ δώσω δὲ κἂν Ἅιδου δίκην
ὡς ἠσεβηκὼς εἰς τάλαντον ἀργύρου;

Φανερὰ ἡ διαφορὰ ἐν τούτοις τοῦ μὴ λάβω; καὶ οὐ δώσω δίκην; τοῦτο μὲν γὰρ ἐστι φοβουμένου τὸ μέλλον, ἐκεῖνο δὲ σκοπουμένου πρὸς ἑαυτόν. Τί δὲ τό· »ὅλαι περικεχήνασι τοῖς λίθοις;" Οὐ πάνυ τι μανθάνω· τὸ γὰρ περιχάσκειν οἶδα λεγόμενον ὅταν τις ὅλον διάρας τὸ στόμα ἀθρόως τι καταπίνῃ κυνηδόν, συντάττεται δὲ πρὸς αἰτιατικήν, οἱ δὲ μεταγενέστεροι κακῶς ἀντὶ τοῦ χάσκειν, ἐγχάσκειν, ἐπιχάσκειν, ἀμφιχάσκειν, περιχάσκειν κτλ. καινόν τινα τύπον Χαίνω ἔπλασαν ἐκ τοῦ χανοῦμαι, ἔχανον, κέχηνα ἐξηπατημένοι. Μήποτε δὲ ἐπικεχήνασι γραπτέον; τὸ γὰρ ἐπιχάσκω (ἐπιχαίνω) καὶ ἐπικέχηνα τίθεται ἐπὶ τῶν ἐκτόπως ὀρεγομένων καὶ γλιχομένων τινός, ὡς ἐν τῷ τοῦ Λουκιανοῦ Τίμωνι κεφ. 11: »οἱ μὲν ὥσπερ ὁ Τάνταλος ἄποτοι καὶ ἄγευστοι καὶ ξηροὶ τὸ στόμα ἐπικεχηνότες μόνον τῷ χρυσίῳ."

Οὐκ ἔστι διάφορος γραφὴ τοῦ Ὁμηρικοῦ στίχου σελ. 244 ἀλλὰ γραφικὸν σφάλμα·

ὃς καὶ χρυσὸν ἔχων πόλεμον κίεν ἠὲ κούρη.

οὐχ οἷόν τε γὰρ πόλεμον λέγειν ἀντὶ τοῦ εἰς πόλεμον. Τὰληθές ἐστιν ἐν Ἰλιάδι Β. 872 πόλεμόνδ' ἴεν.

Ἓν μόνον γράμμα προσθεὶς περὶ τοῦ δευτέρου βιβλίου παύσομαι λέγων. Πολύ τι πλῆθος κοσμίων γυναικείων καταλέξας ὁ Κλήμης τάδε ἐπάγει σελ. 246: »θαυμάζειν ἔπεισί μοι ὡς ἄρα οὐκ ἀποκναίονται τοσοῦτον ἄχθος βαστάζουσαι." Ἐλώθασιν, οἶμαι, οἱ Ἕλληνες λέγειν »θαυμάζω πῶς, ὅπως, πῶς ἄρα," ἀλλ' οὐχὶ ὡς.

Δεινότατα καθάπτεται ὁ Κλήμης σελ. 254 τῶν γυναικῶν αἵτινες »οἴκων ἀνατροπὰς καὶ γάμων ἐκτροπὰς καὶ παίδων διαβολάς" περιποιοῦνται. Παραπήξω τούτοις τοῦ Πλουτάρχου ῥῆσίν τινα ἐν τῷ τοῦ Ῥωμύλου βίῳ κεφ. 22 παρομοίως πως ἐσφαλμένην, ἵν' ἅμ' ἀμφότερα θεραπεύσω. Γέγραπται δὴ ἐν τοῖς τοῦ Πλουτάρχου τάδε: »ὁ νόμος ὁ διδοὺς γυναῖκα ἐκβάλλειν ἐπὶ φαρμακείᾳ τέκνων ἢ κλειδῶν ὑποβολῇ καὶ μοιχευθεῖσαν." Σκέψαι δέ μοι

τὰς τούτων ἀπορίας· τίνας δῆτα λέγει ὁ Κλήμης παίδων διαβολάς; Τίνα τῶν πώποτε γυναικῶν ἴσμεν τοὺς παῖδας τοὺς ἑαυτῆς διαβαλοῦσαν; Αἱ μὲν μητρυιαὶ ἐνίοτε διέβαλον τοὺς προγόνους, ὡς τὸν Ἱππόλυτον ἡ Φαίδρα, μητέρα δὲ οὖσαν τίνα οἴσθα τοιοῦτόν τι διαπράξασαν; Ὡσαύτως ἄτοπον τὸ τοῦ Πλουτάρχου »ἐπὶ φαρμακείᾳ τέκνων.« Αἱ τῶν Ῥωμαίων γυναῖκες πλειςάκις τοὺς ἑαυτῶν ἄνδρας φαρμάκοις ἀνεῖλον, οὐδεμία δὲ πώποτε, ὅσα κἀμέ γε εἰδέναι, τοῖς ἑαυτῆς τέκνοις θάνατον ἐπεβούλευσεν. Αὐτὴ ἡ Μήδεια οἰςήσασα ἀναφθέγγεται·

μίαν δὴ κλύω μίαν τῶν πάρος
γυναῖκ' ἐν φίλοις χέρα βαλεῖν τέκνοις,
Ἰνὼ μανεῖσαν ἐκ θεῶν.

Τούτου δὲ ἀτόπου ὄντος ἔτι ἀτοπώτερόν ἐςι τὸ ἐπαγόμενον »ἢ κλειδῶν ὑποβολῇ.« Τί γὰρ τὸ κλεῖδας ὑποβάλλεσθαι; Μῶν νόθαι τινὲς κλεῖδες λέγονται, ἃς ἄν τις ἀντὶ γνησίων ὑποβάλοιτο; Λῆρος πολύς; οὐ γάρ; Ὑποβάλλομαι καὶ ὑποβολὴ καὶ ὑποβολιμαῖος ἀεί ποτε περὶ παίδων λέγουσι, παραδειγμάτων δὲ πάντα μεςά, ἀςειότατα δὲ τὴν πανουργίαν ταύτην διαζωγραφεῖ ὁ Κωμικὸς ἐν ταῖς Θεσμοφοριαζούσαις ςίχ. 503 κτέ. Πρὸς ταῦτα δὴ τί δεῖ μακρολογεῖν; Δοκεῖ μοι ὁ μὲν Κλήμης τάδε γράψαι: »καὶ παίδων ὑποβολάς« ἀντὶ τοῦ διαβολάς, ὁ δὲ Πλούταρχος τάδε: »ἐπὶ φαρμακείᾳ καὶ παίδων ὑποβολῇ καὶ μοιχευθεῖσαν.«

»Τοῖς δὲ φιλοχρύσοις καὶ φιλοπαρύφοις καὶ φιλολίθοις οὔτε ὁ ὑπὲρ γῆς καὶ ὑπὸ γῆν χρυσὸς αὐτάρκης κτέ.« σελ. 257. Γραπτέον »ὑπὸ γῆς.« ἔςι δὲ τοῦτο τὸ τοῦ Πλάτωνος ἐκ τῶν Νόμων σελ. 728 Α. ὃ πάντες ἔχουσι διὰ ςόματος: »Πᾶς γὰρ ὅ τ' ἐπὶ γῆς καὶ ὑπὸ γῆς χρυσὸς ἀρετῆς οὐκ ἀντάξιος.«

»Μαραίνεται τὸ κάλλος καὶ θᾶττον ἀποπίπτει τοῦ πετάλου χαμαί.« σελ. 251. ὁμοίως δὲ σελ. 260: »ἐξ οὐρανῶν ἀποπεσόντες χαμαί.« Ἀπώλετο γὰρ δὴ πάλαι τὸ χαμᾶζε, τὸ δὲ χαμᾶθεν συνήθως ὑπὸ πάντων εἰς τὸ χαμόθεν παρεφθείρετο. Καὶ ἔςι μὲν τὸ χαμαὶ πέσεν Ὁμηρικόν, οὐδεὶς δὲ τῶν δοκίμων τοῦτο ἐμιμήσατο. Ἀπώλετο δὲ καὶ προπάλαι τὸ θύρασι καὶ θύραζε καὶ θύραθεν, ἀντὶ δὲ τούτων τῷ ἔξω καὶ ἔξωθεν ἐχρῶντο πάντες. Γέγραπται μὲν παρὰ τῷ Τιμαίῳ τῷ Λοκρῷ σελ.

102 A: »ῥεῖ γὰρ διὰ τοῦ σώματος [ἔξω] θύραζε τὰ πνεύματα.'' τὸ δὲ ἔξω ὡς τάχος ἐξαλειπτέον. Οὐκ ὀρθῶς μὲν ὁ Μοῖρις διδάσκει λέγων: »Θύραζε ἀττικῶς, Ἔξω ἑλληνικῶς,'' (τίς γὰρ τῶν Ἀττικῶν οὐ χρῆται τῷ ἔξω πολλάκις; τὸ δὲ θύραζε παρὰ τοῖς Κωμικοῖς μάλιστά ἐστιν ἐν χρήσει), ἀλλ' ἄτοπον τὰ δύο ταῦτα συζευγνύναι »ῥεῖ ἔξω θύραζε,'' οὐ γάρ; Ἀσεία τις ῥῆσις εἴτε τοῦ Φερεκράτους εἴθ' ἑτέρου τινὸς φέρεται παρὰ τῷ Δειπνοσοφιστῇ σελ. 364 B.

ἡμῶν δ' ἤν τινά τις καλέσῃ θύων ἐπὶ δεῖπνον,
ἀχθόμεθ' ἢν ἔλθῃ καὶ ὑποβλέπομεν παρεόντα,
χὤτι τάχιστα θύρας ἐξελθεῖν βουλόμεθ' αὐτόν.

οὐ δῆτα, ἀλλὰ »θύραζ' ἐξελθεῖν.'' Ὁ Πλαῦτος, ὁ τῶν Ῥωμαίων κωμικός, τοῦ τῶν Μεναίχμων δράματος ἄρχεται ὧδε·

Exi e culina sis foras, mastigia.

μεταφράσας οἶμαι σιχίδιον ἑλληνιστὶ ὧδ' ἔχον·

ἔξιθι θύραζ' ἐκ τοὐπτανίου, μαστιγία.

οὕτω γὰρ λέγουσι θύραζε ἐξιέναι, ἐξελθεῖν, κτλ. ἀλλ' οὐχὶ θύρας.

»Μισότριχας, ἄτριχας, τὸ ἄνθος τὸ ἀνδρικὸν μυσαττομένους, τὰς κόμας δὲ, ὥσπερ αἱ γυναῖκες, κοσμουμένους.'' σελ. 261. Γραπτέον· »κομμουμένους,'' κομμοῦν γὰρ καὶ κομμῶται, κομμώτριαι, κομμωτική περὶ παντὸς μὲν ἐπιπλάστου καλλωπισμοῦ τίθεται οἷον ἐπὶ φύκους καὶ ψιμυθίου καὶ παιδέρωτος καὶ τῶν τοιούτων, κυρίως δὲ περὶ τῶν τὰς κόμας περιέργως καὶ μετ' ἐπιτεχνήσεως πλεκόντων. »Κομμῶται δὲ καὶ κομμώτριαι (φησὶν ὁ Κλήμης σελ. 268) περὶ τὰς γυναῖκας ἀμφιπολεύουσιν αἱ μὲν τὰ κάτοπτρα, αἱ δὲ τοὺς κεκρυφάλους, ἄλλαι τοὺς κτένας.'' Τὸ δὲ κοσμεῖσθαι περὶ τῶν χρυσίων καὶ τῶν τοιούτων ὡς ἐπὶ τὸ πολὺ τίθεται, ἐπὶ δὲ τῆς κόμης οὐκέτι. Διορθώσομεν οὖν καὶ τὸ σελ. 266 εἰρημένον· »οἱ Κελτοὶ καὶ οἱ Σκύθαι κομῶσιν ἀλλ' οὐ κοσμοῦνται,'' κομμοῦνται μὲν οὖν.

»Τοὺς ἀλεκτρυόνας καθάπερ κόρυσι τοῖς κάλλεσιν ἐκαλλώπισεν'' σελ. 263. Ἀλλὰ τὸν ἐπὶ τῆς τῶν ἀλεκτρυόνων κεφαλῆς λόφον οὐ κάλλη ὠνόμαζον ἀλλὰ κάλλαια, ὡς Ἀριστοφάνης ἐν Ἱππεῦσι σιχ. 497.

χὤπως τὰ κάλλαι' ἀποφαγὼν ἥξεις πάλιν.

Ἠρεθισμένοι γὰρ οἱ ἀλεκτρυόνες καὶ ἐσκοροδισμένοι ἐμάχοντο τὰ κάλλιστα ἐγηγερκότες. Γραπτέον οὖν »καθάπερ κόρυσι τοῖς καλλαλοίοις.''

Προειπών τι ὁ Κλήμης σελ. 264 περὶ τῶν δυσήνων παίδων τῶν ὑπὸ τῶν ἀνδροκαπήλων εἰς ὕβριν καὶ ἀσέλγειαν καλλωπιζομένων τάδε ἐπιφέρει: »οἱ δὲ ἑκόντες ταῦτα αἱρούμενοι δρᾶν ἃ κελευόμενοι θανάτῳ ἂν ἐτιμήσαντο εἰ ἄνδρες ἦσαν πῶς οὐ κατάπτυστοι;'' Ἑλληνικὸν δ' ἐστὶ λέγειν καὶ κυρίως καὶ τροπικῶς ὡς λέγει ὁ Αἰσχίνης ἐν τῷ περὶ παραπρεσβείας § 5: »ἐὰν μὴ ἐξελέγξω τὴν αἰτίαν οὖσαν ψευδῆ — θανάτου τιμῶμαι.'' Προσθήσω δὲ καὶ Δεινάρχου μαρτυρίαν ἵν' ἐν παρόδῳ διορθώσω. Τοῦ Φιλοκλέους κατηγορῶν λέγει § 2: »θανάτου τιμησάμενος ἐὰν εἴληφέ τι τῶν χρημάτων ὧν Ἅρπαλος εἰς τὴν χώραν ἐκόμισε.'' Σὺ δὲ τῷ μὲν Δεινάρχῳ βοήθησον γράφων: »ἐὰν φανῇ εἰληφώς τι,'' τῷ δὲ Κλήμεντι ἀπόδος τὸ »θανάτου ἂν ἐτιμήσαντο.''

Τῶν γυννίδων καὶ θηλυδριῶν κατατρέχων ὁ Κλήμης σελ. 266 οὕτω φησίν· »οὗτοι γὰρ καὶ τὰ μάλιστα πρὸς τὰς ἄλλας πεπολιωμένοι τρίχας μόνον τὰς ἐπὶ τῇ κεφαλῇ περιέπουσιν.'' Ὅτι μὲν τὸ πεπολιωμένοι ἀδιανόητόν ἐστιν ὁρᾷς, τί δὲ γραπτέον; Οἱ κίναιδοι τὰς μὲν ἄλλας τρίχας πάντα τρόπον ἠφάνιζον ἐκτίλλοντες καὶ πιττοκοπούμενοι, τῶν δ' ἐπὶ τῇ κεφαλῇ μόνον ἐφείδοντο εἰς καλλωπισμόν. Ἀντὶ τοῦ πεπολιωμένοι ἀναγνωσέον πεπολεμωμένοι. Ἐπολέμουν γὰρ πρὸς τὰς ἄλλας τρίχας, ἃς μισοῦντες πάντα τρόπον διέφθειρον. Οἶσθα δήπου ὁσάκις τὸ πολεμεῖν τινὶ καὶ πρός τινα τροπικῶς τίθεται, τὸ δὲ πεπολεμῶσθαι ἀντὶ τοῦ πολέμιόν τινι γεγονέναι Θουκυδίδειον ὃν πολλοῖς τῶν μεταγενεστέρων ἤρεσεν. Θουκυδίδης ἐν τῇ πρώτῃ κεφ. 57. οὕτω γράφει· »Περδίκκας τε — ἐπεπολέμωτο ξύμμαχος πρότερον καὶ φίλος ὤν. ἐπολεμώθη δὲ ὅτι κτέ.'' Τὸν αὐτὸν δὲ τρόπον ἔφθασεν εἰπὼν ὁ Κλήμης τάδε: »χρὴ δὲ τὸν ὀρθῶς παιδαγωγούμενον — πρὸς τὰς ἑαυτοῦ τρίχας εἰρήνην ἄγειν,'' οὐκ ἀκόμψως ἀντὶ τοῦ »μὴ κείρειν.''

Σκληρῶς καθαπτόμενος τῆς τῶν γυναικῶν ἀκολασίας ὁ Κλήμης σελ. 270 οὕτω φησίν· »αἱ δὲ ἀνδρογύνων συνουσίαις ἥδονται, παρεισρέουσι δὲ ἔνδον κιναίδων ὄχλοι ἀθυρόγλωσσοι — ἀκολάστοις

ῥήμασι καὶ σχήμασι τέρπειν πειρώμενοι καὶ εἰς γέλωτας ἐκκαλούμενοι πορνείας παράδρομον." Τὸ μὲν πάθος φανερόν, ὅ, τι δὲ γραπτέον δείξει τὸ σιχίδιον τὸ ἐν τῇ 'Ανθολογίᾳ τῇ Παλατ. Ε. 245:

. κιχλίζεις, χρεμέτισμα γάμου προκέλευθον ἰεῖσα,
διορθωτέον γὰρ, ὡς ὁρᾷς, »εἰς γέλωτα — πορνείας πρόδρομον." Προτρέχει γὰρ ὁ τοιοῦτος γέλως, ὁ ἀκόλαστος, ὁ κιχλισμὸς, οὐ παρατρέχει. Πορνικὸν τὸν τοιοῦτον γέλωτα καλεῖ ὁ Κλήμης σελ. 196 διὰ τούτων: »ἡ ἐκμελὴς τοῦ προσώπου ἔκλυσις εἰ μὲν ἐπὶ γυναικὸς γίνοιτο κιχλισμὸς προσαγορεύεται (γέλως δ' ἐστὶ πορνικὸς), εἰ δὲ ἐπὶ ἀνδρῶν καγχασμός." Τοῖς δ' 'Αθηναίοις καὶ τῷ 'Αριστοφάνει τοῦτο οὐ συνδοκεῖ, ὡς φανερὸν γίγνεται ἔκ τε ἄλλων τινῶν καὶ ἐκ τῶν Νεφελῶν στίχ. 983. οὐ γὰρ ἐξῆν (φησὶ) κατὰ τὴν ἀρχαίαν παιδείαν τοῖς μειρακίοις
οὔτ' ὀψοφαγεῖν οὔτε κιχλίζειν οὔτ' ἴσχειν τὼ πόδ' ἐναλλάξ.

Διαγράφων τὰ τῶν γυναικῶν λουτρὰ ὁ Κλήμης σελ. 272 λέγει τάδε: »οἶκοι τεχνητοὶ συμπαγεῖς καὶ περιφορητοὶ διαφανεῖς σινδόνι καλύπτονται." Διαφανεῖ σινδόνι μὲν οὖν, οὐ γὰρ οἷόν τε τοὺς συμπαγεῖς τούτους οἴκους διαφανεῖς γενέσθαι.

Αἱ τότε γυναῖκες τοῖς μὲν ἀνδράσι τοῖς ἑαυτῶν οὐκ ἀπεδύοντο, συνελοῦντο δὲ τῷ βουλομένῳ. Διὸ γράφει ὁ Κλήμης σελ. 272: »ἔξεσι δὲ τοῖς βουλομένοις τῶν ἄλλων οἴκοι τὰς κατακλείσους γυμνὰς ἐν τοῖς βαλανείοις θεάσασθαι." Μεταθετέον »τὰς οἴκοι κατακλείσους."

'Ολίγον τι ὑποβὰς οὕτω φησίν· »ἔθει πονηρῷ παραγράφοντες τὸν φόβον." σελ. 275 τὸ δὲ παραγράφοντες ἔσφαλται, ἀνὸ' οὗ γραπτέον· περιγράφοντες. Πολλάκις ἐν τοῖς ἀντιγράφοις ἑοράκαμεν, ὦ φίλτατε, μέμνησαι γάρ, ὅτι ἡ παρά καὶ ἡ περὶ διὰ σημείων τινῶν γραφεῖσαι οὐδὲν ὅλως διαφέρουσιν. Οὐκοῦν ὁποτέρως ἔχει ταληθὲς οὐχὶ ταὐτίγραφα ἀλλ' ὁ νοῦς ἐκ τῶν συμφραζομένων διδάσκει. Τὸ δὲ περιγράφειν καὶ τὸ διαγράφειν κυρίως μὲν τίθεται ἐπὶ τοῦ τὰ γεγραμμένα ἐξαλείφειν, τροπικῶς δὲ ἐπὶ τοῦ ἀφανίζειν ὁτιοῦν καὶ ἐκποδὼν ποιεῖσθαι, ὡς παρὰ τῷ Κλήμεντι σελ. 309: »ἄρδην ἐκκόπτεται κακία καὶ περιγράφεται ἀδικία." καὶ παρὰ τοῖς ἄλλοις πολλαχοῦ.

»Οὕτως γὰρ μόνως ἀπτώς τις διαμένει, εἰ πάντοτε αὐτῷ συμπαρεῖναι νομίζοι τὸν θεόν.'' σελ. 273. Καλῶς μὲν λέγει ὁ Κλήμης, ἔτι δὲ κάλλιον ἐρεῖ, ἐὰν σμικρόν τι σφάλμα περὶ τοὺς τόνους ἀφέλῃς. Γραπτέον γὰρ διαμενεῖ ἀντὶ τοῦ διαμένει, οὕτω γὰρ αὐτῷ συντάττειν ἔθος. Ῥᾴξη ἐκ τούτων ἡ διόρθωσις τῶν πλησίον που γεγραμμένων: »ἐοικέναι μοι δοκεῖ ὁ πλοῦτος ἑρπετῷ, ὃ εἰ μή τις ἐπίσαται τὸ λαβέσθαι ἀβλαβῶς — περιπλέξεται τῇ χειρὶ καὶ δήξεται.'' σελ. 274. Ἀναγνωσέον δή· »εἰ μή τις ἐπίσαιτο λαβέσθαι — δήξεται.'' Παραπλήσιόν τι τούτοις σφάλμα ἔξελε σελ. 138 ἐκ τούτων: »διασαφῶν οἷα πείσονται εἰ παραμένουσιν ἁμαρτωλοί.'' Οὐ μὲν οὖν, ἀλλὰ »παραμενοῦσιν.'' ἔσι γὰρ πᾶσι τοῖς ἑλληνίζουσιν ἔθος ταῦτα οὕτω συντάττειν, ὡς ἐν τῷ τοῦ Λαΐου χρησμῷ·

εἰ γὰρ τεκνώσεις παῖδ' ἀποκτενεῖ σ' ὁ φύς.

Ἔσφαλται καὶ ἕτερα πολλὰ περὶ τοὺς τόνους ἐν τοῖς τοῦ Κλήμεντος, ἄξιον δὲ ὀλίγ' ἅττα παρασημειοῦσθαι, ἐν οἷς ἀμφιβολία τις ἐνεῖναι δύναται. Γράφεται σελ. 58 πλανήτας καὶ πολλάκις ἀλλαχοῦ καὶ πλανητῶν. Καλοῦνται δὲ οἱ ἀσέρες οὐχὶ πλανῆται, ἀλλὰ πλάνητες, διὸ πλανήτων καὶ πλάνητας γραπτέον. Γράφεται σελ. 70 ἀμέλει ἀντὶ τοῦ ἀμελεῖ, σελ. 144 συνιὼν ἀντὶ τοῦ συνιῶν, τουτέσι συνιείς. σελ. 263 ἐκτομίων ἀντὶ τοῦ ἐκτομιῶν ἀπὸ τοῦ ἐκτομίας. σελ. 286 ἐμπρεπεῖς ἀντὶ τοῦ ῥήματος ἐμπρέπεις. σελ. 316 καὶ 356 συνίασιν ἀντὶ τοῦ συνιᾶσιν. σελ. 351: μελέτη πάντα καθαίρει ἀντὶ τοῦ καθαιρεῖ. καὶ σελ. 715 ἐν μὲν τοῖς ἀντιγράφοις φέρεται: »ἀδμῆτες ἀεὶ καὶ λίαν νούσων,'' διώρθωσαν δὲ ἀεικελίαν, ἐχρῆν δὲ »ἀεικελιᾶν νούσων.''

»Σαφέσατα τοὺς μὲν ἔπαυσε κακῶς διατιθέντας, τοὺς δὲ τὰ ἴσα τολμῶντας ἐκώλυσεν,'' σελ. 279. ὁ Κλήμης ἐν τούτοις σαφῶς τοὺς κακῶς παθόντας καὶ τοὺς ποιοῦντας κακῶς ἀντιθεὶς ἔγραψε διατεθέντας, οὐχὶ διατιθέντας. Καὶ τοῦτο μὲν ἴσως φαῦλον οὐδὲ μνήμης ἄξιον, ἐμνήσθην δ' ὅμως διὰ τὸν Ἀνακρέοντα, οὗ τάδε παρατίθεται ὁ Δειπνοσοφισὴς σελ. 533.

πολλὰ μὲν ἐν δουρὶ τιθεὶς αὐχένα, πολλὰ δ' ἐν τροχῷ,
πολλὰ δὲ νῶτον σκυτίνῃ μάσιγι θωμιχθεὶς, κόμην
πώγωνά τ' ἐκτετιλμένος.

ἐν τούτοις ὁ προσέχων τὸν νοῦν οὐκ ἀνέξεται τοῦ ἐνεστῶτος χρόνου

ἐν τῷ τιθείς, οὐκ ἀρκεῖ δὲ μεταγράφειν τεθείς, ἀλλ' οὕτως οἶμαι γραπτέον·

πολλὰ μὲν ἐν δουρὶ δεθεὶς αὐχένα,

πολλάκις μὲν (φησὶν) ἐδέθη ἐν τῷ ξύλῳ, πολλάκις δὲ ἐμασιγώθη δοῦλος ὤν.

»Τίς γὰρ οὐκ ἀντιπαραφυλάξαιτο ἑπόμενός τῳ καθ' ὁδόν κτέ." σελ. 279. Φανερὸν ὅτι δεῖ γράφειν »οὐκ ἂν παραφυλάξαιτο." Ὁμοιότατα σελ. 185: »ἕως ἀντιπεριπεσὼν ὑφάλοις πέτραις αὐτὸς αὑτὸν — διαφθείρῃ." τὸ »ἀντιπεριπεσών" περιφανῶς ἡμάρτηται ἀντὶ τοῦ: »ἕως ἂν περιπεσὼν — διαφθείρῃ." Πρόδηλον δὲ ὅτι τὸ ΤΙ ἐκ τοῦ ἐπιφερομένου Π ἐγένετο. Οἱ δὲ ἀντιγραφεῖς τετραχῶς πως ἐν τῷ ΑΝ ἁμαρτάνουσι. Πρῶτον μὲν τὸν ΑΝ καὶ τὸν ΔΗ συγχέουσι διὰ τὸ σχεδόν τι οὐδὲν ἐν τοῖς παλαιοτάτοις τῶν βιβλίων ταῦτα διαφέρειν καὶ ὄψει παρά τε τοῖς ἄλλοις καὶ παρὰ τῷ Πλάτωνι πολλάκις ἄν καὶ ἄν που κακῶς ἀντὶ τοῦ δή καὶ δήπου γεγραμμένα. Ἔπειτα δὲ ἀπειράκις ὁ ΑΝ ἀπόλλυται ἄλλως τε καὶ μετὰ τὸν ΓΑΡ, παρά τε τὴν διάνοιαν τῶν λεγομένων καὶ παρὰ τὸ μέτρον· οἱ δὲ ἀντιγραφεῖς οὔτε τῷ νῷ τοῖς ἀεὶ λεγομένοις παρακολουθοῦσιν οὔτε τὰ μετρικὰ ἐπίστανται. Τὸ δὲ τρίτον πολλάκις ὁ ΑΝ τῷ ἐπιφερομένῳ ῥήματι συμφύεται μεταπεσὼν εἰς τὴν ΑΝΑ, τὸ δὲ τέταρτον ὡς ἑόρακας εἰς τὴν ΑΝΤΙ μετατυποῦται ἐὰν τὸ Π ἐπιφέρηται. Ἔστι δὲ ἐφ' ἡμῖν ἀεὶ τὰ τοιαῦτα σφάλματα κατὰ τὸ δέον ἐκ τῶν βιβλίων ἐξελεῖν καὶ τὸ τῶν ἀντιγραφέων τι φροντίζειν καὶ ἐν τοῖς τοιούτοις ἠλίθιον. Παραδειγμάτων δὲ παντα χοῦ πολλὴ ἀφθονία. Ἀρίστην γνώμην εἶπεν ὁ Κλήμης καὶ πᾶσιν ἔτι καὶ νῦν συμφέρουσαν σελ. 349 τήνδε: »ξύμπαντες οὖν Ἕλληνές τε καὶ βάρβαροι ὅσοι τἀληθοῦς ὠρέχθησαν οἱ μὲν οὐκ ὀλίγα οἱ δὲ μέρος τι, εἴπερ ἄρα, τοῦ τῆς ἀληθείας λόγου ἔχοντες ἀναδειχθεῖεν." Οὐκ εὔχεται ταῦτα ὁ Κλήμης (εἰ καὶ τὸ πρᾶγμα εὐχῆς ἄξιον) »εἴθε ξύμπαντες ἀναδειχθεῖεν!" ἀλλὰ γνώμην ἀποφαίνεται »ξύμπαντες — μέρος τι ἔχοντες ἂν δειχθεῖεν." οὐ γάρ; Ἀπώλετο δὲ ὁ ΑΝ ἐν ἄλλοις τε παμπόλλοις καὶ σελ. 288 ἐν τούτοις: »ἐγὼ δὲ οὐκ ἐβουλόμην τὴν σωματικὴν εὐπρέπειαν ἀσκεῖν αὐτὰς, ἐπάγεσθαι δὲ τοὺς γήμαντας φιλανδρίᾳ σώφρονι," γραπτέον δέ »οὐκ ἂν ἐβουλόμην," οὕτω γὰρ τοῖς Ἕλλησιν ἔθος λέγειν περὶ τῶν ἀδυνάτων γενέσθαι καὶ τῶν ἀνηκέστως ἐχόντων. Χαριέντως ὁ Κωμικός·

βδελυρὸν μὲν οὖν τὸ πρᾶγμα κοὐκ ἂν ἐβουλόμην
λαχεῖν, ἐπειδὴ δ' ἔλαχον οὐκ ἂν ἐβουλόμην.

ἡ δὲ δημηγοροῦσα γυνὴ ἐν ταῖς Ἐκκλησιαζούσαις στίχ. 151 τάδε προοιμιάζεται:

ἐβουλόμην μὲν ἂν ἕτερον τῶν ἡθάδων
λέγειν τὰ βέλτιστ' ἵν' ἐκαθήμην ἥσυχος.

ἐβουλόμην μὲν ἄν (φησὶν) ὁρῶσα ἀδύνατον ὄν. Ἀπόλωλεν ὁ ΛΝ καὶ ἐν τούτοις σελ. 494: »καλῶς ὁ Ζήνων ἔλεγεν ἕνα Ἰνδὸν παροπτώμενον ἐθέλειν ἰδεῖν ἢ πάσας τὰς περὶ πόνου ἀποδείξεις μαθεῖν.'' γραπτέον γάρ: »ἐθέλειν ἂν ἰδεῖν.'' Μυριάκις οὖν ἐν πᾶσι τοῖς τοιούτοις ὁ ΑΝ ἀναγκαῖος ὢν ἀφανίζεται, ὁ δὲ ἀεὶ βουλόμενος τὸ κακὸν ἰάσεται.

»Οὐ γὰρ πάντας [ἀεὶ] οὐδὲ ἀεὶ ὀνίνησι (τὸ βαλανεῖον),'' σελ. 282. Περιγραπτέον πάντως τὸ πρότερον ἀεί. Μετ' ὀλίγα δὲ ἀντὶ τοῦ »πολλάκις ἡμέρας λούεσθαι'' γράφε »πολλάκις τῆς ἡμέρας.'' Βραχὺ δέ τι ὑποβὰς ὁ Κλήμης οὐκ ἔγραψε »διὰ τὴν ἄσην τὴν ἐπιφυομένην αὐτῷ'' ἀλλὰ τὴν ἄσιν. Ἄση καὶ ἄσις διαφέρει, ἄση μὲν γὰρ σημαίνει λύπην, ἀνίαν, ἀχθηδόνα, ὡς ἐν τῇ Μηδείᾳ·

ἔξω μολὼν ἔπαυσε καρδίαν ἄσης.

ἄσις δέ ἐστι ῥύπος καὶ ἀκαθαρσία. Οὐδὲν οὖν ἔχοντα κοινὸν ὅμως ὑπὸ τῶν ἀμαθῶν ἀεὶ συμφύρεται καὶ συγχεῖται πάνυ γελοίως. Ἐξηπάτησαν μέντοι οὐ μόνον τὸν ἠλίθιον Σουΐδαν ἀλλὰ καὶ τὸν πολυμαθέστατον Διονδόρφιον ἐν τῷ Θησαυρῷ ἐν τῷ Ἄση.

»Μικροῦ δεῖν ἔλαθέ με εἰπεῖν ὁ Πιττακὸς ἐκεῖνος ὅτι ἥλεθεν ὁ Μιτυληναίων βασιλεύς,'' σελ. 284. Γράφε: »εἰπεῖν ὅτι ὁ Πιττακὸς ἐκεῖνος ἤληθεν'' καὶ Μυτιληναίων ἀντὶ τοῦ Μιτυληναίων. Ἐν ἐνίοις τῶν ἀντιγράφων ἤλθεν γέγραπται. Ἠμφεγνόουν γὰρ οἱ ἀμαθεῖς ὅ, τι ποτ' εἴη τὸ ΗΛΗΘΕΝ, τὸ δὲ ἤλθεν καλῶς ἤδεσαν. Οἱ δὲ παλαιοὶ ἀλεῖν ἔλεγον καὶ ἀλήλεκα καὶ βίος ἀληλεμένος. Οἶσθα δὲ τὸ τοῦ Πλουτάρχου ἐν τῷ τῶν ἑπτὰ σοφῶν συμποσίῳ σελ. 157 E. »ἐγὼ γὰρ ἐν Λέσβῳ γενόμενος τῆς ξένης ἤκουον ᾀδούσης πρὸς τὴν μύλην· Ἄλει, μύλα, ἄλει. καὶ γὰρ Πιττακὸς ἀλεῖ μεγάλας Μυτιλάνας βασιλεύων.'' Οἱ δὲ μεταγενέστεροι ἀντὶ τοῦ ἀλεῖν ἀλήθειν ἔλεγον καὶ τοὺς παλαιοὺς τύπους ἀγνοοῦντες συνέχεον καὶ διετάραττον καὶ ἐλωβῶντο πάντα

τρόπον, ὡς ἐν τῷ τοῦ Φερεκράτους παρὰ τῷ Δειπνοσοφιστῇ σελ. 263 B.

εἶτα πρὸς τούτοισιν ἥλουν ὄρθριαι τὰ σιτία.

ὅπου τὸ παλαιότατον ἀντίγραφον ἥλων ἔχει, τὰ δὲ τούτου ἀπόγραφα ἧλον καὶ εἶλον. Ἡμάρτηται δὲ παρὰ μὲν τῷ Ἡροδότῳ Z. 23: »σῖτος δέ σφισι πολλὸς ἐφοίτα ἀληλεσμένος,« παρὰ δὲ τῷ Θουκυδίδῃ Δ. 26: »εἰσάγειν σῖτον ἀληλεσμένον.« Τὰ ληθὲς δὲ σώζεται ἐν τοῖς Ἀμφιδος στιχιδίοις (Ἀθήν. σελ. 642 A):

ἤδη ποτ' ἤκουσας βίον

ἀληλεμένον; B. ναί. A. τοῦτ' ἐκεῖν' ἐστὶν σαφῶς.

τὸ γὰρ ἀλήλεσμαι βάρβαρον, ὡς εἴ τις ἐλήλασμαι ἢ ὀμώμοσαι βούλοιτο λέγειν. Οἱ μὲν οὖν παλαιοὶ ἀλεῖν μόνον ἔλεγον οὐχὶ ἀλήθειν, ὥσπερ καὶ νεῖν καὶ κνῆν, νῆν, σῆν, σμῆν, ψῆν ἀντὶ τοῦ νήχεσθαι, κνήθειν, νήθειν, σήθειν, σμήχειν, ψήχειν, ἅπερ ἐστὶ πάντα τῶν μεταγενεστέρων εὑρήματα καὶ τοῖς πάλαι Ἕλλησιν ἄγνωστα. Τὰ δὲ παλαιὰ ταῦτα ἀεὶ κινδυνεύει ὑπὸ τῶν ἀμαθῶν καὶ ἀναισχύντων ἀντιγραφέων διαφθαρέντα ἀπολέσθαι. Εἴδομεν νυνδὴ τὸ Ἀντιφάνους στιχίδιον οὕτω λελωβημένον:

σμήχεται, κτενίζετ', ἐκβέβηκε, τρίβεται.

ἀντὶ τοῦ

σμῆται, κτενίζετ', ἐκβέβηκ', ἐντρίβεται.

εἰωθότες γὰρ σμήχειν λέγειν καὶ ἀκούειν ἀεὶ, ὡς παρὰ τῷ Κλήμεντι σελ. 268: »οἱ δὲ σμήχουσι τὰ ἐκπώματα, — ἄλλοι καταψήχουσι τὰ ὑποζύγια.« τὸ παλαιὸν CMHTAI ἠφάνισαν. Καὶ περὶ μὲν τὰ ἄλλα ἧττον σφάλλονται, πταίουσι δ' ἀεί τινες ἐν τῷ NΘIN καὶ NHN. Νεῖν μὲν γὰρ ἀεὶ ἀντὶ τοῦ νήχεσθαι τίθεται, τὸ δὲ τὴν κρόκην νήθειν παρὰ τοῖς Ἀττικοῖς ἀεί ποτε NHN καλεῖται, οὐχὶ νεῖν οὐδὲ νήθειν. Συμφύρουσι μὲν πάντα οἱ ἀντιγραφεῖς ἀλλ' αὐτοὶ ἑαυτοὺς ψευδομένους ἐλέγχουσι. Γράφεται μὲν γὰρ ἐν τῇ τοῦ Πολυδεύκους λέξει Z. 32 »ἐφ' οὗ δὲ νήθουσιν ἢ νῶσιν (τὸ γὰρ νήθειν οἱ Ἀττικοὶ νεῖν λέγουσιν) ἐπίνητρον καλεῖται.« Ἀλλὰ ταῦτα, ὁρᾷς; ἀλλήλοις μάχεται· ἐχρῆν γὰρ νέουσιν ἀντὶ τοῦ νῶσιν γράφειν. Γραπτέον ἄρα »τὸ γὰρ νήθειν οἱ Ἀττικοὶ νῆν λέγουσιν,« οὕτω δὲ καὶ παρὰ τοῖς ἄλλοις. Ἐν τῇ Φωτίου Λέξει μεταξὺ τοῦ Νημερτές καὶ τοῦ Νηνεμία κεῖται »Νεῖν: νήθειν κρόκην« περιφανῶς γραπτέον Νῆν κατὰ στοιχεῖον. ἐν δὲ τῇ αὐτῇ λέξει φέρεται καὶ τόδε: »Νήθειν οὐ μόνον

νεῖν τὴν κρόκην φασίν.'' νῆν μὲν οὖν. Ὁ δὲ καλούμενος Ἀνταττικισὴς σελ. 109, 23: »Νήθειν οὐ μόνον νεῖν.'' Ἀμαρτάνεις καὶ νῦν, ὦτᾶν, τὸ γὰρ νεῖν ἐξὶ νήχεσθαι, τὸ δὲ νήθειν οἱ Ἀττικοὶ νῆν ἔλεγον. Εὑρίσκεται γὰρ παρὰ τοῖς παλαιοῖς νῶσι, νῶντα, νώμενος καὶ ἔνη, καὶ παρὰ τῷ Εὐπόλιδι·

τῇ χειρὶ νῶσαι μαλθακωτάτην κρόκην.

Μόνος ἔτι πράγματα παρέχει ὁ Πλάτων ἐν τῷ Πολιτικῷ γράφων σελ. 289 c: »τοὺς περὶ τὸ νήθειν τε καὶ ξαίνειν,'' καὶ πάλιν σελ. 282 a: »καὶ μὴν ξαντική γε καὶ νησικὴ καὶ πάντα τὰ περὶ τὴν ποίησιν τῆς ἐσθῆτος.'' Εἰ γὰρ, ὥσπερ ἐμοὶ δοκεῖ, μηδεὶς πώποτε τῶν παλαιῶν οὔτε τῷ νήθειν ἐχρήσατο οὔτε τῷ κνήθειν, σμήχειν, ψήχειν κτλ. πόθεν τὸ νήθειν παρεισέδυ καὶ πῶς ἡ τέχνη νησικὴ ἐκλήθη; Ἐκ τοῦ Νῆν γὰρ νῆμα γίγνεται, ὡς σμῆμα, περίψημα (ἐκ τοῦ σμήχω γὰρ σμῆγμα ἐγένετο ὕστερον) καὶ νητικὴ ἡ τέχνη οὐχὶ νησική. Ὁ δὲ Πλάτων ἔγραψε »νῆν τε καὶ ξαίνειν,'' καὶ: »ξαντική γε καὶ νητική.'' Ἐὰν δὲ τούτοιν θάτερον φανερῶς ἀποδείξω, μηδὲ περὶ θατέρου ἔτι τοῖς ἀντιγραφεῦσιν εἰκῇ πιστεύσωμεν. Δεῦρο δή, ὦ Φώτιε, πολλὰς τοῦ Πλάτωνος γνησίας λέξεις διασώσας μόνος σῶσον ἡμῖν καὶ ταύτην. Πρόσεχε τὸν νοῦν· »Νητικὴν (φησὶν) ἄνευ τοῦ σ τὴν περὶ τὸ νήθειν τέχνην.'' καὶ τί ἔτ' ἐρεῖς; δῆλον γὰρ ὅτι οὐ μόνον τοὔνομα οἱ κακοδαίμονες ἀλλὰ καὶ τὸ ῥῆμα ἡμῖν διέφθειραν. Ἐξελέγξαντες δὲ τὰ περὶ τὸ νῆν σφάλματα σκοπῶμεν ἤδη διὰ βραχέων τὰ περὶ τὸ κνῆν καὶ τὰ λοιπά. Οἱ μὲν παλαιοὶ πάντες ὁμαλῶς κνῆν ἔλεγον καὶ ἐπικνῆν καὶ κνῆσθαι, προσκνῆσθαι, καὶ σμῆν, ἐκσμῆν, ἐπισμῆν, σμῆται, σμώμενος, καὶ ψῆν, ἀποψῆν, ἀπέψη, καταψῆν, καταψῶντα, περιψῆν, οἱ δὲ μεταγενέστεροι τοῦτο μὲν ἐχρῶντο τοῖς νεωτερικοῖς τύποις κνήθειν[1]), σμήχειν, ψήχειν μετὰ τῶν συνθέτων, τοῦτο δὲ ἐπὶ τοὺς παλαιοὺς τύπους ἐπανῆλθον πλὴν ὅτι αὐτοὺς εἰς -ᾶν,

---

[1]) Ἐλέγχεται ἄρα καὶ ἐκ τούτου οὐκ ὄντα ἀρχαίου τινὸς ποιητοῦ τὰ παρὰ τῷ Πλουτάρχῳ ἐν τῷ Περὶ ἀοργησίας κείμενα 463 e. τάδε:

καὶ γὰρ κάπρον Φριξαύχεν' οὐ μόνον γυνὴ,
παῖς δ' ἂν νεογνὸς χειρὶ προσκνήθων νέᾳ
κλίναι παλαισοῦ παντὸς εὐμαρέστερον.

πάντως δὲ ταῦτα τῆς Ἀλεξανδρείας μᾶλλον ἢ Ἀττικῆς χάριτος ὄζει.

οὐκ εἰς -ῆν περιέσπων, κνᾶν καὶ κνᾶσθαι λέγοντες καὶ ἀπέψα καὶ ἀπεψᾶτο καὶ τὰ ὅμοια, ὧν ὀλίγα ἐκ πολλῶν παραθέσθαι ἄξιον. Πλούταρχος ἐν τῷ Πῶς ἄν τις διακρίνειε τὸν κόλακα τοῦ Φίλου σελ. 61 D: »κνᾷ καὶ γαργαλίζει.« Κλήμης σελ. 328: »κνήθοντες καὶ γαργαλίζοντες τὰς ἀκοὰς τῶν κνίσασθαι (γρ. κνήσασθαι) γλιχομένων.« Πλούταρχος ἐν τῷ Πῶς ἄν τις ὑπ' ἐχθρῶν ὠφελοῖτο σελ. 89 E: »τὸ ἐνὶ κνᾶσθαι δακτύλῳ τὴν κεφαλήν.« Δίων ὁ Χρυσόστομος λόγ. ς. σελ. 90: »προσκνᾶσθαι πρὸς τὸ τραχύ,« καὶ μετ' ὀλίγα: »τὸν πόδα κνᾶσθαι.« Κλήμης σελ. 205: »ταῖς θριξὶν — ἀπεψᾶτο τὸ περιττὸν τοῦ μύρου.« Διαφερούσης τοίνυν τῆς τῶν παλαιῶν καὶ τῆς τῶν μεταγενεστέρων συνηθείας σφόδρα ἀεὶ κινδυνεύει τὰ τῶν παλαιῶν. Παραδείγματος χάριν τὰ τοῦ Ξενοφῶντος σκόπει τὰ ἐν τοῖς Ἀπομνημονεύμασιν (Λ. 2, 30): »ἐπιθυμῶν Εὐθυδήμῳ προσκνῆσθαι ὥσπερ τὰ ὑΐδια τοῖς λίθοις.« Ἐν δὲ τοῖς ἀντιγράφοις φέρεται καὶ προσκνίσθαι, προσκνᾶσθαι, προσκνήσασθαι, προσκνίσασθαι, ὧν τὸ μὲν προσκνίσθαι καὶ προσκνίσασθαι σφάλματά ἐστι γραφικά, τὸ δὲ προσκνᾶσθαι καὶ προσκνήσασθαι παραδιορθώσεις τῶν τὸ Ἀττικὸν προσκνῆσθαι ἀγνοούντων. Τὸ δὲ παλαιὸν κνῆν ὅσον ἐπὶ τοῖς ἀντιγραφεῦσι σχεδόν τι ἐκ τῶν βιβλίων ἠφάνισαι. Γράφουσι γὰρ παρὰ μὲν τῷ Μοιριδι σελ. 254 »Κνεῖν Ἀττικῶς, κνήθειν Ἑλληνικῶς.« παρὰ δὲ τῷ Ἡσυχίῳ: »Κνεῖν: κνήθειν,« μεταξὺ τοῦ Κνησήρ καὶ τοῦ Κνῆσις, παρὰ δὲ τῷ Σουΐδᾳ »Ἐπικνεῖν.« Διεσώθη δὲ τὸ Ὁμηρικὸν Ἰλιάδ. Λ. 638:

ἐπὶ δ' αἴγειον κνῆ τυρὸν | κνήστι χαλκείῃ,

καὶ παρὰ τοῖς Κωμικοῖς »ἐπικνῆς« καὶ »ἐπικνῆν κἀπεσθίειν.« Τὸ δὲ κνῆσθαι καὶ κνώμενος ἐν τῷ τοῦ Πλάτωνος Γοργίᾳ κεῖται σελ. 494. ὅπου καὶ χρῆσις τοῦ κνησιᾶν διὰ τούτων: »καὶ πρῶτον μὲν εἰπὲ εἰ καὶ ψωρῶντα καὶ κνησιῶντα ἀφθόνως ἔχοντα τοῦ κνῆσθαι κνώμενον διατελοῦντα τὸν βίον εὐδαιμόνως ἔστι ζῆν.« Πρὸς ταῦτα ἀναφέρεται τὸ ἐν τῇ Φωτίου λέξει: »Κνησιῶντα: ἐπιθυμητικῶς ἔχοντα τοῦ κνᾶσθαι.« Τὸ δὲ ῥῆμα τοῦτο ἐν ἄλλοις τέ τισι καὶ ἐν τοῖς τοῦ Κλήμεντος εἰς τὸ κνησιᾶν παρέφθαρται, οἷον σελ. 298: »δίκην ὑῶν — γαργαλισμοῖς ἀσελγέσι κνησιῶντες πρὸς Ἀφροδίτην.« καὶ σελ. 222: »εἰς διακονίαν κνησιώντων μορίων.« Βέλτιον δὲ κνησιῶντες καὶ κνησιώντων μεταγράφειν. Τίς ἄρα νῦν θαυμάσεται, εἰ ἐν τῇ τοῦ Εὐριπίδου Ἰφιγενείᾳ ἐν Ταύροις στίχ. 305 ἔτι καὶ νῦν περιφέρεται·

ἀφρόν τ' ἀπέψα σώματός τ' ἐτημέλει.

Ἀνάττικον γάρ ἐστι καὶ τῷ Ἑλμσληΐῳ πειστέον ἀπέψη διορθώσαντι. Προσάγουσι δέ τινες οἷον μηχανήν τινα τὸ τοῦ Ἡσυχίου: »Ἀπέψα: ἀπέμασσεν.« Εἶτα τί τοῦτο; οὐ γὰρ ὁ αὐτὸς Ἡσύχιος ἀνέγραφε: »Σμᾶν: σμήχειν,« καὶ τίς αὐτῷ πιστεύσει τὸ Σμᾶν μὴ οὐχὶ τῶν μεταγενεστέρων εἶναι μόνων, τῶν Ἀττικῶν σμῆν καὶ ἐπισμῆν λεγόντων, ὡς Ἀριστοφάνης Θεσμοφ. στίχ. 396:

τί γὰρ οὗτος ἡμᾶς οὐκ ἐπισμᾷ τῶν κακῶν;

Περὶ δὲ τοῦ ψῆν, ἀποψῆν, καταψῆν, περιψῆν τίς ἂν ἀμφισβητήσειεν; Ἀριστοφάνης Ἱππεῦσι στίχ. 909:

ἰδοὺ δέχου κέρκον λαγὼ τὠφθαλμιδίῳ περιψῆν.

καὶ Φώτιος εἰς τοῦτο ἀποβλέπων: »Περιψῆν διὰ τοῦ η, οὐ περιψᾶν.« Φυλακτέον γὰρ δὴ καὶ τότε ἦν μή τις τὰς ἀρχαίας γραφὰς εἰκῇ κινήσειεν. Ὡς οὖν κατελάβομεν τοὺς ἀντιγραφέας ἐν τῷ τοῦ Ἀντιφάνους στιχιδίῳ τὸ Ἀττικὸν Σμῆται εἰς τὸ Σμήχεται μετατυποῦντας, οὕτω καὶ ἐν πᾶσι τοῖς τούτῳ παραπλησίοις εὐλαβητέον μή τι ἡμᾶς οἱ ἀμαθεῖς οὗτοι ὁμοίως ἐξαπατῶσι.

Λοιπὸν περὶ τοῦ Ἀλεῖν — ἀλήθειν καὶ Νεῖν — νήχεσθαι βραχέα λέγειν. Οὐδεὶς τῶν παλαιῶν τῷ ἀλήθειν χρῆται, τὸ δὲ νήχομαι (καὶ νήχω) ἔστι μὲν ἐπικόν, τῶν δὲ Ἀττικῶν οὐδενὶ ἐν χρήσει. Καὶ περὶ μὲν τοῦ ἀλήθειν τῷ Φρυνίχῳ πειστέον ὀρθότατα παραινοῦντι τάδε σελ. 151: »Ἀλεῖν ἐρεῖς οὐκ ἀλήθειν καὶ ἤλει οὐκ ἤληθεν, ἀλοῦσα οὐχὶ δὲ ἀλήθουσα.« Συμφωνοῦσι γὰρ πάντες, τὸ δὲ μόνον διαφωνεῖν δοκοῦν τὸ Φερεκράτειον ἐν τοῖς Βεκκέρου Ἀνεκδ. 406, 1:

ἀνὴρ γέρων ἀνόδοντος ἀλήθει,

ἅρισα διεύθυνεν ὁ Μεινέκιος διαγράψας τὸ ἀνάττικον τοῦτο ἀλήθει χρησάμενος τῇ τοῦ Πολυδεύκους μαρτυρίᾳ I. § 89.

Μάχαιραν ἆρ' ἐνέθηκας; — οὔ. — τί μ' εἴργασαι;
ἀμάχαιρος ἐπὶ βόεια νοσήσω κρέα
ἀνὴρ γέρων ἀνόδοντος;

Περὶ δὲ τοῦ νήχομαι καὶ τῶν συνθέτων οὐκ ἔστιν οὐδεμία ἀμφισβήτησις, οὐδεὶς γὰρ τῶν δοκίμων οὐδενὶ τούτων χρώμενος φανήσεται. Νεῖν ἔλεγον οἱ Ἀττικοὶ καὶ »οἱ νεῖν ἐπισάμενοι« καὶ τὸ τοῦ λόγου »οὔτε γράμματα οὔτε νεῖν ἐπισάμενοι,« καὶ νεῖν ἐξ ὑπτίας, ὡς ἐν τῇ τοῦ Πλάτωνος Πολιτείᾳ 529 c. »ἐξ ὑπτίας νέων, καὶ ἐν Φαίδρῳ 264 a. »ἐξ ὑπτίας ἀνάπαλιν διανεῖν.« καὶ πάλιν ἐν τῇ Πολιτείᾳ 441 c. »ταῦτα μὲν ἄρα μόγις διανε-

νεύκαμεν." (Παραβ. τὰ τοῦ Ῥουγκενίου πρὸς τὴν Τιμαίου λέξιν ἐν τῷ Διανενεύκαμεν) καὶ ἐν τῷ Παρμενίδῃ 137 a: »διανεῦσαι τοσοῦτον πέλαγος λόγων," παρὰ τὰ τοῦ Εὐριπίδου ἐν Ἱππολύτῳ 818:

κακῶν δ', ὦ τάλαν, πέλαγος εἰσορῶ
τοσοῦτον ὥστε μήποτ' ἐκνεῦσαι πάλιν.

καὶ πάλιν ὁ Εὐριπίδης ἐν τῷ αὐτῷ 471:

εἰς δὲ τὴν τύχην
πεσοῦσ' ὅσην σὺ πῶς ἂν ἐκνεῦσαι δοκεῖς;

καὶ ἄλλα πολλὰ τούτοις παραπλήσια καὶ τῶν συνθέτων δὲ Διανεῖν, εἰσνεῖν, ἐκνεῖν, ἐπινεῖν, παρανεῖν, περινεῖν, προσνεῖν, ὑπονεῖν πολλὴ χρῆσις πανταχοῦ, ὡς ἐν τοῖς τοῦ Ἀλέξιδος (Ἀθήν. 650 c) τοῖσδε:

εἶδές ποτε
πίνουσιν ἀνθρώποις ἀπίους παρακειμένας
ἐν ὕδατι πολλῷ; Β. πολλάκις δήπου. τί οὖν;
Α. οὐκοῦν ἕκαστος ἐκλεγόμενος λαμβάνει
τῶν ἐπινευσῶν τὴν πεπαιτάτην ἀεί;

Πρὸς δὲ τούτοις καὶ τόδε παρασημειοῦσθαι ἄξιον, ὅτι ὁ μὲν παρακείμενός ἐστι τῶν σπανιωτάτων. σχεδόν τι μόνον οἶδα τὸ παρὰ Πλάτωνι κείμενον Διανενεύκαμεν. καὶ ὁ μέλλων δὲ πλὴν τῆς παρ' Ἡσυχίῳ λέξεως: »Νευσόμεθα: νηξόμεθα," ἅπαξ μόνον εὕρηταί μοι ἐν τῇ τοῦ Ξενοφῶντος Ἀναβάσει Δ. 3, 12: »ἐκδύντες δ' ἔφασαν ἔχοντες τὰ ἐγχειρίδια γυμνοὶ ὡς νευσόμενοι διαβαίνειν." τὰ δὲ πιστότατα τῶν ἀντιγράφων πευσόμενοι φέρει, ἔν τισι δὲ παραγέγραπται »γρ. νηξόμενοι ὡς κολυμβήσοντες." Παραδιορθοῖ τις, ὁρᾷς; τὸ φανερῶς ἐσφαλμένον. εἰ δὲ τὰ παλαιότερα ἀπώλετο, ἐδόκει ἂν ἴσως »νηξόμενοι" γεγραφέναι ὁ καλὸς Ξενοφῶν, νῦν δὲ τὸ ὀρθὸν εὐτυχῶς πως σέσωται. Ἀντὶ δὲ τοῦ νεῖν παρὰ πᾶσι τοῖς μεταγενεστέροις μυριόλεκτον τὸ νήχεσθαι μετὰ πλείστων τῶν συνθέτων, ὡς παρὰ τῷ Κλήμεντι σελ. 733: »τῷ οἵῳ τε ὄντι διανήχεσθαι τὰ ἐν αὐτοῖς κύματα," καὶ ἀπειράκις ἀλλαχοῦ καὶ παρ' ἄλλοις. Ἡμεῖς δὲ νῦν οἷον πέλαγός τι λόγων διανεύσαντες ἐπὶ τὰ ἑξῆς τραπώμεθα.

»Καλὸν δὲ καὶ ὕδωρ ἀνιμῆσαι δι' αὐτοῦ καὶ ξύλα διατεμεῖν, οἷς αὐτοῖς χρήσεται" σελ. 284. Γράφε· »οἷς αὐτὸς χρήσεται," καὶ τοῦτο γὰρ τῆς αὐτουργίας μέρος.

»Ἀβροδίαιτον ἐνονειδίζων νεάνιδα ὁ Σοφοκλῆς λέγει·
γυναικομίμοις ἐμπρεπεῖς ἐσθήμασιν.''
σελ. 286. Γράφε· »ὀνειδίζων νεανίαν'' εἶτα »ἐμπρέπεις.'' Γυναικόμιμα ἐσθήματα λέγει τὰ τοῖς γυναικείοις ὅμοια. Φανερὸν οὖν καὶ ἐντεῦθεν ὅτι ταῦτα ἀνδρὶ ἐπιπλήττει θηλυνομένῳ.

»Εἰ γὰρ οἱ πάντες ἦσαν παιδαγωγούμενοι οὐδὲν τῶν σφραγίδων ἔδει.'' σελ. 287. Δὶς ἡμάρτηται. γράφε »ἦσαν πεπαιδαγωγημένοι οὐδὲν ἂν τῶν σφραγίδων ἔδει.''

»Τὸν δακτύλιον οὐκ ἐπ' ἄρθρῳ φορητέον τοῖς ἀνδράσιν — εἰς δὲ τὸν μικρὸν δάκτυλον, καὶ τοῦτο εἰς τοὔσχατον καθιέναι.'' σελ. 288. τί τοῦτο λέγει; Γράφε »τούτου'' τοῦ δακτύλου.

»Τοῖς δὲ ἀναφανδὸν ἁμαρτάνειν ἐθέλουσι τὸ λανθάνον τοῦ σχήματος — ἐπιτερπέσατον, ὑφ' ᾧ δεδοικότες — τὸ ἁμαρτάνειν ἀδεῶς κεκάρπωνται,'' σελ. 290. Μάχεται ἀλλήλοις τὸ δεδοικότες καὶ τὸ ἀδεῶς, ὡς ὁρᾷς. Τί δὲ ἀναγνωσέον; Δῆλον ὅτι δεδυκότες. Ἔφθασε δὲ τοῦτο διορθώσας ὁ Πόττερος, ὡς νῦν ὁρῶ· ἐχρῆν δὲ τὰ οὕτως ἐναργῆ καὶ ἀναμφισβήτητα εἰς τὸ κείμενον παραχρῆμα ἀναλαβεῖν. Ὅτι δὲ δεδυκότες γραπτέον οὐ μόνον αὐτὸ καθ' αὑτὸ περιφανὲς ἀλλὰ καὶ διὰ τὸ πανταχοῦ τὸ Υ καὶ τὴν ΟΙ ὑπὸ τῶν ἠλιθίων ἀντιγραφέων συγκεχύσθαι. Οὐκ ὀλίγον διαφέρει μυχός καὶ μοιχός, κύνας καὶ κοινάς, ἀλλ' ἐν τοῖς ἀντιγράφοις συνεχῶς καὶ ταῦτα συμπεφυρμένα εὑρήσεις. Ἐν τισι τοῦ Κλήμεντος ἀντιγράφοις φέρεται σελ. 263: »εἰ μὲν ἐπὶ τοὺς ἄνδρας (τὸ καλλώπισμα) θηλυδρίου, εἰ δὲ ἐπὶ τὰς γυναῖκας μυχοῦ'' ἀντὶ τοῦ μοιχοῦ. Πρὸς τὴν παρὰ τῷ Ἡσυχίῳ λέξιν
Κυνοφθαλμίζεται: ἀναιδῶς ἐμβλέπει,
προσέγραψεν ὁ Κούσηρος τὸ τοῦ Συνεσίου: »Εἰ δέ τις τὸ λεγόμενον κοινοφθαλμίζοιτο,'' καὶ πανταχοῦ τὰ τοιαῦτα ὁμοίως συγχεῖται, ὥστε καὶ ἐν τούτοις πᾶσι μόνης τῆς τῶν ἀεὶ λεγομένων διανοίας ἀπρὶξ ἐξόμεθα τῶν ἀνοήτων ἀντιγραφέων καταφρονοῦντες. Δύο ἄλλα παραδείγματα τῶν νεωτέρων χάριν ὑπογράψω. Ἀλέξιδος στιχίδιον φέρεται ἐν τῇ τοῦ Πολυδεύκους λέξει οὕτως ἔχον·
γυνὴ λινουργὸς περὶ τοίχους ἀφείλετο.
ὁ δὲ Πόρσων εὐστόχως »περιτυχοῦσ' ἀφείλετο'' διώρθωσεν. Ἐν δὲ τῇ Φωτίου γέγραπται·

πολὺ δ' ἀλώπηξ ἀλλ' ἐχῖνος ἓν μέγα,
μωρόταται ἀντὶ τοῦ »πόλλ' οἶδ' ἀλώπηξ."

»Αἱ περιπλοκαὶ τῶν τριχῶν αἱ ἑταιρικαὶ καὶ αἱ τῶν σειρῶν ἀναδέσεις πρὸς τὸ εἰδεχθεῖς αὐτὰς δεικνύναι κόπτουσαι τὰς τρίχας ἀποτίλλουσαι ταῖς πανούργοις ἐμπλοκαῖς, δι' ἃς οὐδὲ θιγγάνουσι τῆς κεφαλῆς τῆς σφῶν αὐταῖς συγχεῖν τὰς τρίχας Φοβούμεναι." σελ. 290. Τρὶς ταῦτα ἡμάρτηται. Γραπτέον »πρὸς τῷ εἰδεχθεῖς αὐτὰς δεικνύναι" τουτέστι χωρὶς τοῦ ε. α. δ. εἶτα κόπτουσι ἀντὶ τοῦ κόπτουσαι, καὶ »αὐταὶ συγχεῖν" οὐχὶ »αὐταῖς."

Τεράστιόν τι ῥῆμα ἔτεκεν ἡμῖν ἡ τῶν ἀντιγραφέων νώθεια σελ. 296. »ἀναστρέφει γὰρ ἐπὶ τὴν δέσποιναν ἡ τῆς θεραπαίνης ἀκολασία ἐπιβαθραίνειν ἐνδιδοῦσα τοῖς πειρῶσι τὰ ἥττονα τὸ μὴ εὐλαβεῖσθαι τὰ μείζονα διὰ τοῦ συγγινώσκειν τοῖς αἰσχροῖς τὸ μὴ καταγινώσκειν ἐμφαινούσης τῆς δεσποίνης." Ὅτι μὲν γὰρ τὸ ἐπιβαθραίνειν τέρας ἐστὶν, οὐ ῥῆμα, τίς οὐκ ἂν ὁμολογήσειε; Τὸ δ' ἀληθὲς πρόχειρον »ἐπιβάθραν ἐνδιδοῦσα — τοῦ μὴ εὐλαβεῖσθαι τὰ μείζονα." Ὡσαύτως εἶπε σελ. 200: »ἐπιβάθραν ὕβρεως — ἢ ἐπερείδεται καὶ ἐπαναπαύεται ἡ ὕβρις" καὶ σελ. 436 »ἡ αἴσθησις ἐπιβάθρα τῆς ἐπιστήμης." Ἔσφαλται δὲ τὸ σελ. 774 γεγραμμένον: »τὴν (Ἑλληνικὴν) Φιλοσοφίαν ὑποβάθραν οὖσαν τῆς κατὰ Χριστὸν Φιλοσοφίας," ἐπιβάθραν μὲν οὖν. Πρὸς ταῦτα ἀνεμνήσθην ἀλλοκότου τινὸς ἁμαρτήματος γραφικοῦ ἐν τοῖς τοῦ Κασσίου Δίωνος ΛΖ. 54: »πράξας δὲ ταῦτα καὶ νομίσας ἱκανὴν ἀπ' αὐτῶν ἐπὶ βασιλείαν πρὸς τὴν ὑπατείαν εἰληφέναι." Οἱ μὲν ἀντιγραφεῖς ἐπὶ βασιλείαν ἐδόκουν ὁρᾶν, τὸ δ' ἦν ἄρα, ὡς ἔοικεν, »ἐπίβασιν."

Καταπαύσωμεν τὸν περὶ τοῦ Παιδαγωγοῦ λόγον διορθώσαντες τὸν ἐπὶ τέλει ὕμνον, οὗ ἡ ἀρχή·

Στόμιον πώλων [ἀδαῶν],
πτερὸν ὀρνίθων [ἀπλανῶν],
οἴαξ νηῶν [ἀτρεκὴς],
ποιμὴν ἀρνῶν [βασιλικῶν],
τοὺς σοὺς ἄφελεῖς
παῖδας ἄγειρον.

ὅτι πάντα τὰ περιγεγραμμένα ἐξαλειπτέον ὁμολογήσουσί μοι οἱ μετρικοί.

Λοιπόν μοι νῦν καὶ τὰ περὶ τοῦ Παιδαγωγοῦ ἐπὶ τὸ πέρας ἀγαγόντι τὰ τῶν Στρωματέων βιβλία ταχέως ἐπιδραμεῖν. Πολλὰ δ' ἤδη ἐξ αὐτῶν ἐν τοῖς ἄνω προλαβὼν καὶ τοῖς θεολογουμένοις οὐ πάνυ τι ἀρεσκόμενος ὀλίγας τινὰς ῥήσεις κακῶς ἐχούσας κατὰ τὸ δυνατὸν ἐπανορθοῦν καὶ, εἴ τι ἄλλο ἀξιόλογον εἶναι δόξει, διὰ βραχέων παρασημειοῦσθαι ἐν τῷ παρόντι βούλομαι καὶ ἀρκέσειν ἡγοῦμαι. Ἅμα δὲ καὶ τὸ προσκορὲς διαφύγοιμεν ἂν μὴ λίαν πολὺν χρόνον τοῖς αὐτοῖς ἐνδιατρίβοντες. Εἶτα δὲ μακρὰ ἐρρῶσθαι τῷ Κλήμεντι φράσαντες ἐπὶ τὰ τοῦ Πλάτωνος μέτιμεν, ἐξ ἀχλύος εἰς φέγγος λαμπρότατον.

»Οὐ γὰρ ἔστι τὰ γραφέντα μὴ ἐκπεσεῖν" καὶ μετ' ὀλίγα: »δεῖται γὰρ ἐξ ἀνάγκης βοηθοῦ ἤτοι τοῦ ἐγγραψαμένου ἢ καὶ ἄλλου του εἰς τὸ αὐτὸ ἴχνος ἐμβεβηκότος." σελ. 324. Πλατωνικὰ ταῦτα πάντα, καὶ τὰ μὲν πρῶτα κατὰ λέξιν γέγραπται ἐν τῇ πρὸς Διονύσιον ἐπιστολῇ σελ. 314 c. (ὅπου καλλίων γραφή »— μὴ οὐκ ἐκπεσεῖν."), τὰ δὲ λοιπὰ ἐκ τοῦ Φαίδρου σελ. 275 d. καὶ ἑξῆς. Ἀντὶ δὲ τοῦ ἐγγραψαμένου πάντως διορθωτέον συγγραψαμένου. Μυριάκις δὲ τὴν ϵN καὶ τὴν CTN συγκεχυμένας εἶδές τε καὶ ὄψει. Εἴωθε δέ πως ὁ Κλήμης συγγράψασθαι λέγειν ἀντὶ τοῦ συγγράψαι, οἷον σελ. 704: »Ἀντίπατρος τρία συγγραψάμενος βιβλία." Καλλιεπεῖν δὲ βουλόμενος εἶπε σελ. 752: »πολλοὶ δὲ τῶν ἀπὸ Πλάτωνος συγγραφὰς πεποίηνται." ἔπταισε δὲ μεγάλως οὐ μεμνημένος ὅτι ἡ συγγραφὴ παρὰ τοῖς Ἀττικοῖς ῥήτορσιν ἀεὶ τίθεται ἀντὶ τοῦ »συμφωνία ἔγγραφος."

»Οὐκ οἶμαι γάρ τινα οὕτως εὐτυχῆ γραφὴν ἡγεῖσθαι ἢ μηδεὶς ἀντερεῖ, ἀλλ' ἐκείνην εὔλογον νομιστέον ἢ μηδεὶς εὐλόγως ἀντερεῖ. καὶ πρᾶξιν ἅμα καὶ αἵρεσιν ἀποδεκτέον οὐ τὴν ἀμεμφῆ ἀλλ' ἣν οὐδεὶς εὐλόγως καταμέμφεται." σελ. 326. Καὶ τυφλῷ δῆλον ὅτι καταμέμψεται γραπτέον. Ἰστέον δὲ ὅτι τῶν συνηθεστάτων ἐστὶ τοῦτο σφαλμάτων τὸ Φ ἀντὶ τοῦ Ψ κείμενον. Ἐφ' ἡμῖν ἄρα ἐστὶ τὸ γράφειν εἰς τὸ γράψειν καὶ πάντα τὰ τοιαῦτα ἐν δέοντί γε μεταπλάττειν. Ὄψει γὰρ ἐν τοῖς ἀντιγράφοις τοὺς ψιλούς γελοίως πάνυ φίλους γενομένους, καὶ τὰς ὄψεις εἰς ὄφεις μεταπεσούσας, ὡς παρ' Ἡσυχίῳ ἐν τῷ Ἀμαρυγαί.

Καὶ τόδε παλαιογραφικῆς δεῖται ἐμπειρίας καὶ τριβῆς τὸ σελ.

326 ἐσφαλμένον: »καθάπερ ὁ τῆς ἄγρας ἐρωτικὸς ζητήσας ἀνιχνεύσας ἐρευνήσας κυνοδρομήσας αἱρεῖ τὸ θηρίον, οὕτω καὶ τἀληθὲς γλυκύτητι φαίνεται ζητηθὲν καὶ πόνῳ πορισθέν." Φέρε δή, ὦ φίλτατε Κόντος, θηρευτικὸς ὢν ἀνιχνεύσας καὶ ἐρευνήσας αἵρει μοι τὸ ἐν τούτοις κεκρυμμένον σφάλμα. Συνεῖδες ἤδη τὸ κακῶς ἔχον. Ἀντὶ τοῦ γλυκύτητι τί ἀναγνωστέον; Δῆλον ὅτι γλυκύτατον, οὐ γάρ; Πῶς δὲ γέγονε τὸ περὶ τὴν γραφὴν ἁμάρτημα; Ἆρ' οὐ μέμνησαι πῶς οἱ εἰς τάχος γράφοντες γράφουσι τὸ γλυκύτατον, γλυκύτατα, καὶ τὸ γλυκύτητος, γλυκύτητι, γλυκύτητα, καὶ πάντα τὰ τούτοις ὅμοια; Ἐπιτιθέασι γὰρ τὰ δύο τ τῇ προπαραληγούσῃ ὀξεῖαν παραγράφοντες, ὥστε τὸ γλυκύτατον τοῦ γλυκύτητι μηδὲν ὅλως διαφέρειν (γλυκύ τ'). Ἐν τοῖς τοῦ Βασίλου παλαιογραφικοῖς πίναξι θεάσει τὰ τοιαῦτα E, 15, 16. Τέτοκε δὲ τοῦτο τῶν ταχυγράφων τὸ ἔθος πλῆθος σφαλμάτων, ἃ τοῦ τυχόντος ἐστὶν ἀφαιρεῖν. Πολλὰ ὁ Βάσιος διήλεγξεν, οἷς ἓν καὶ δεύτερον προσβαλεῖν ἄξιον. Ἐν τῷ Περὶ Ὕψους συγγραμματίῳ κεφ. 29 γέγραπται: »ἐπίκηρον μέντοι τὸ πρᾶγμα ἡ περίφρασις — κουφολογίας τε ὄζον καὶ παχύτατον." Οὐ μὲν οὖν, ἀλλὰ παχύτητος, ὡς καὶ ἡ τῶν ὀνομάτων σύνθεσις φανερὸν ποιεῖ. Ἔστι δὲ καὶ ἔν τισι τἀληθὲς παχύτητος, ἀλλ' ἠλιθίως ἀποδοκιμάζεται. Ἐν τοῖς τῷ Ἰαμβλίχῳ περὶ τοῦ Πυθαγόρου βίου γεγραμμένοις πάμπολλα ἔνεστι τοιαῦτα σφάλματα, ἐν δὲ τοῖς καὶ τάδε: § 16 »τὸν πρόσλοιπον εὐφημότατον πλοῦν διεξήνυσαν." γρ. εὐφημότατα. § 19 »θεῶν θρησκείαν ἐντελεστάτην ἐκμαθών." γρ. ἐντελέστατα. § 68 ἀντὶ τοῦ »διὰ νομιμότητος" ἐφέρετο πάλαι: »διανομίμττο" καὶ διανομιμότατα. § 90 »ἱερεὺς τοῦ ἐκεῖ Ἀπόλλωνος καὶ τὰ ἱερατικὰ σοφώτατα," γρ. σοφώτατος. Οὐδὲν τούτων ἡμάρτηται ἐν τῷ ἀρχαίῳ ἀντιγράφῳ τῷ ἐν Φλωρεντίᾳ, ἐξ οὗ μετεγράφη πάντα τὰ ἄλλα. Γέμει δὲ ὅλον τὸ βιβλίον σημείων τε ταχυγραφικῶν καὶ πλοκῶν δυσαναγνώστων, ὧν οἱ μεταγράφοντες οὐδὲν συνιέντες ἀλλοκότους τινὰς γραφὰς ἡμῖν ἐπλάσαντο, ὧν μίαν δή τινα δείξω σοι, ὦ κράτιστε Κόντος. § 118: »τὴν γλῶσσαν δὲ (ὁ Πυθαγόρας) καὶ τὴν χεῖρα καὶ τὴν ἀκοὴν πρὸς τὰ ἐξαρτήματα καὶ βεβαιώσας πρὸς αὐτὰ τὸν τῶν σχέσεων λόγον μετέθηκεν εὐμηχάνως κτέ." Ἀδιανόητα ταῦτα, ὡς ὁρᾷς· ἀνατέλλει δὲ φῶς λαμπρὸν ἐκ τοῦ ἀντιγράφου, ἐν ᾧ γέγραπται οὐ »τὴν γλῶσσαν" ἀλλὰ »τυλώσας" (τουτέστι

»γυμνάσας") καὶ τὴν χεῖρα καὶ τὴν ἀκοήν. Ἀναπληροῖ δὲ καὶ τὸ πάντων βέλτιστον τοῦτο ἀντίγραφον οὐκ ὀλίγα τοῦ παντὸς ἄξια, ὧν ἐν τοῖς ἄλλοις οὐδ' ἴχνος φαίνεται. Τρία τούτου παραδείγματα παρέξομαι. Γράφεται § 30: »πλείονες ἢ δισχίλιοι τοῖς λόγοις ἐνεσχέθησαν. ἀλλὰ ὁμοῦ σὺν παισὶ καὶ γυναιξὶ κτέ." Εὗρον δὲ ἐν τῷ ἀντιγράφῳ τάδε: »— ἐνεσχέθησαν αἱρεθέντες αὐτοὶ κατὰ κράτος οὕτως ὥστε οὐκέτι οἴκαδε ἀπέστησαν (γρ. ἀπενόστησαν) ἀλλὰ ὁμοῦ σὺν παισὶ κτέ." Καὶ πάλιν § 266: »πρὸς ὃν ἀφικέσθαι Διόδωρον τὸν Ἀσπένδιον, ὃν παραδεχθῆναι διὰ τὴν σπάνιν τῶν ἐν τῷ συστήματι ἀνδρῶν. περὶ μὲν Ἡράκλειαν Κλεινίαν καὶ Φιλόλαον κτέ." ἐν δὲ τῷ ἀντιγράφῳ ἔνεστι καὶ τάδε: »τῶν ἐν τῷ συστήματι ἀνδρῶν. οὗτος δὲ εἰς τὴν Ἑλλάδα ἐπανελθὼν διέδωκε τὰς Πυθαγορείους φωνάς. ζηλωτὰς δὲ γράφει γενέσθαι τῶν ἀνδρῶν περὶ μὲν Ἡράκλειαν κτέ." Πλείστου δ' ἄξιον ἀναπλήρωμα εὕρηκα § 235. Ἐξέγραψε γὰρ ὁ Ἰάμβλιχος καλλίστην ῥῆσιν περὶ τοῦ Δάμωνος ἐκείνου καὶ τοῦ Φιντία ἐκ τῶν τοῦ Ἀριστοξένου, ὃς ἐν τῷ Περὶ Πυθαγορικοῦ βίου αὐτὸς τοῦ Διονυσίου ἐν Κορίνθῳ φησὶ διακηκοέναι. Ἀλλ' οὐδὲν οἷον αὐτοῦ τοῦ Ἀριστοξένου ἀκούειν. Ἄκουε δή: »Διονύσιος (φησὶν) ἐκπεσὼν τῆς τυραννίδος ἀφικόμενος εἰς Κόρινθον πολλάκις ἡμῖν διηγεῖτο τὰ περὶ τῶν κατὰ Φιντίαν τε καὶ Δάμωνα." Εἶτα λέγει ὁ Διονύσιος ὥς τινες τῶν περὶ αὐτὸν διατριβόντων διέσυρον καὶ διεμωκῶντο τοὺς Πυθαγορείους »ἀλαζόνας ἀποκαλοῦντες αὐτοὺς καὶ λέγοντες ὅτι ἐκκοπείη ἂν αὐτῶν ἡ σεμνότης αὕτη — εἴ τις περισήσειεν αὐτοὺς εἰς Φορὰν ἀξιόχρεων." Ἄριστα δὲ τἀντίγραφον: »εἴ τις περισήσειεν εἰς Φόβον ἀξιόχρεων." Εἶτ' ἐπιφέρει: »Ἀντιλεγόντων δέ τινων καὶ γενομένης φιλονεικίας συνταχθῆναι ἐπὶ τοὺς περὶ Φιντίαν, ἐναντίον τέ τινα τῶν κατηγόρων αὐτοῦ εἰπεῖν ὅτι φανερὸς γέγονε μετά τινων ἐπιβουλεύων αὐτῷ." Εὕρηκα τοῦ Ἀριστοξένου τὰ ἀπολωλότα ἔχοντα ὧδε: »συνταχθῆναι ἐπὶ τοὺς περὶ Φιντίαν δρᾶμα τοιόνδε· μεταπεμψάμενος ὁ Διονύσιος ἔφη τὸν Φιντίαν ἐναντίον τέ τινα." Οἱονεὶ ἐξ Ἅιδου, δρᾷς, ἀνέβη ἡμῖν ὁ περὶ τῶν κατὰ Δάμωνα καὶ Φιντίαν τἀληθῆ μαρτυρήσων. Ἅμα δὲ τῷ τἀληθῆ παρ' αὐτοῦ τοῦ Διονυσίου ἀκοῦσαι φροῦδα ἡμῖν τὰ ἀπίθανα καὶ μύθοις ἐοικότα τὰ ὑπὸ τῶν πολλῶν διαθρυλούμενα. Δρᾶμά τι ἐπὶ τοὺς περὶ Φιντίαν ὑπὸ τοῦ τυράννου καὶ τῶν κολάκων συνετάχθη, εἴπως εἰς Φόβον ἀξιόχρεων καταστήσαντες τοὺς ἄνδρας τὸ σεμνὸν αὐτῶν καὶ τὸ ἀπαθὲς τῆς γνώμης ἐκκόψειαν. Ἀλλ' οὐκ ἂν φθάνοιμι ἐπὶ τὸν Κλήμεντα

ἐπανατρέχων, τοῦτο μόνον τοῖς ἐκ τοῦ Ἰαμβλίχου ὑπειπών. Ὁρᾷς ὅπως ἑκάστοτε μέρος τι τοῦ κειμένου ἀπόλωλεν; Ταὐτοῦ ῥήματος »ἀνδρῶν — ἀνδρῶν,'' »Φιντίαν — Φιντίαν'' ἢ καὶ ὁμοιοπτώτου τινὸς »ἐνεσχέθησαν — ἀπέσησαν'' δὶς γεγραμμένου οἱ τῶν μεταγραφόντων ὀφθαλμοὶ ἀπὸ τοῦ προτέρου ἐπὶ τὸ ὕστερον ἀποπλανῶνται ὥστε τὰ ἐν μέσῳ ἀπολέσθαι. Ἐνιαχοῦ τὰ διὰ τοῦτο ἀπολωλότα οὐκ ἂν ἀπιθάνως τις ἐκ τῶν συμφραζομένων ἀνασώσειεν, οἷον ἐν τοῖς Παρθενίου Περὶ ἐρωτικῶν παθημάτων κεφ. ς: »τὸν δὲ Σίθονα πρῶτον μὲν κελεύειν τοὺς ἀφικνουμένους μνηστῆρας πρὸς μάχην ἰέναι τὴν κόρην ἔχοντα, εἰ δὲ ἥττων φανείη τεθνάναι.'' Ἴσως γάρ, ὦ φίλτατε Κόντος, οὐ χαλεπῶς σε πείσω ὅτι δεῖ γράφειν: »κελεύειν τοὺς ἀφικνουμένους μνηστῆρας πρὸς μάχην ἰέναι (ἑαυτῷ, ἐφ' ᾧ τε, εἰ μέν τις κρατήσειεν, ἀπιέναι) τὴν κόρην ἔχοντα, εἰ δὲ ἥττων φανείη, τεθνάναι.'' Ὁρᾷς ὅτι καὶ νῦν τὸ ΙΘΝΑΙ δὶς γεγραμμένον τὸν ἀντιγραφέα ἐπλάνησε.

Τὰ τῷ Κλήμεντι γεγραμμένα σελ. 332: »ἤδη γάρ τινες τοῖς φίλτροις τῶν θεραπαινίδων δελεασθέντες ἀλιγώρησαν τῆς δεσποίνης Φιλοσοφίας καὶ κατεγήρασαν οἱ μὲν αὐτῶν ἐν μουσικῇ, οἱ δὲ ἐν γεωμετρίᾳ, ἄλλοι δὲ ἐν γραμματικῇ, οἱ πλεῖστοι δὲ ἐν ῥητορικῇ,'' μεταγέγραπται, ὡς ὁ Πόττερος ἔδειξεν, ἐκ τῶν τοῦ Φίλωνος ἐν τῷ Περὶ τῆς εἰς τὰ προπαιδεύματα συνόδου σελ. 530 Μαγ. Ὁ δὲ Φίλων ταῦτα παρά του τῶν Ἑλλήνων παρέλαβε. Φέρεται γὰρ ἀνὰ τὴν Ἑλλάδα ἀξιόστατός τις λόγος, εἴτε τοῦ Ἀριστίππου, εἴτε Ἀρίστωνος τοῦ Χίου, εἴτε τοῦ Βορυσθενίτου Βίωνος, (διαφωνοῦσι γὰρ περὶ τούτου) ὃν ἐκ τοῦ Λαερτίου Διογένους (Β. 79) παραθήσομαι. »τοὺς τῶν ἐγκυκλίων παιδευμάτων μετασχόντας, Φιλοσοφίας δὲ ἀπολειφθέντας, ὁμοίους εἶναι ἔλεγεν (ὁ Ἀριστιππος) τοῖς τῆς Πηνελόπης μνηστῆρσι· καὶ γὰρ ἐκείνους Μελανθὼ μὲν καὶ Πολυδώραν καὶ τὰς ἄλλας θεραπαίνας ἔχειν πάσας δὲ μᾶλλον ἢ αὐτὴν τὴν δέσποιναν δύνασθαι γῆμαι.'' Τὰ αὐτὰ ὡς τοῦ Βίωνος εἰρηκότος φέρεται ἐν τῷ τοῦ Πλουτάρχου Περὶ παίδων ἀγωγῆς σελ. 7 D. καὶ ὡς τοῦ Ἀρίστωνος ἐν τῷ τοῦ Στοβαίου Ἀνθολογίῳ Δ. 110. Ὅτου δέ ποτ' ἐστὶ χαριέστατόν ἐστιν.

Ὁ δὲ Κλήμης καὶ τῶν ἑξῆς οὐκ ὀλίγα ἐκ τοῦ Φίλωνος μετέγραψεν, ἅ τις παραβαλὼν τὰ ἀμφοτέρων διορθώσει, ὡς ἐν τοῖς τοῦ Κλήμεντος τάδε: »ἔστι γὰρ ἡ μὲν Φιλοσοφία ἐπιτήδευσις, ἡ σοφία δὲ ἐπιστήμη θείων καὶ ἀνθρωπίνων καὶ τῶν τούτων αἰτίων.'' Φανε-

ρὸν δὲ ὅτι δεῖ γράφειν: »ἔσι γὰρ ἡ μὲν Φιλοσοφία (σοφίας) ἐπιτήδευσις.« Ὁ δὲ Φίλων νῦν γράψαι δοκεῖ: »Φιλοσοφία ἐγκράτειαν μὲν γαστρὸς, ἐγκράτειαν δὲ τῶν μετὰ γαστέρα ἀναδιδάσκει,« ἔγραψε δὲ, ὡς τοῖς Ἕλλησιν ἔθος καὶ ὁ Κλήμης φέρει: »τῶν ὑπὸ γαστέρα.«

Ὀλίγον τι ὑποβὰς ὁ Φίλων σελ. 539. τέχνης καὶ ἐπιστήμης ὅρον τίθησι τόνδε: »Τέχνης μὲν γὰρ ὅρος οὗτος σύστημα ἐγκαταλήψεων ἐγγεγυμνασμένων πρός τι τέλος εὔχρηστον· — ἐπιστήμης δὲ κατάληψις ἀσφαλὴς καὶ βέβαιος ἀμετάπτωτος ὑπὸ λόγου.« Σὺ δὲ διόρθωσόν μοι ὧδε »σύστημα ἐκ καταλήψεων συγγεγυμνασμένων« καὶ παράβαλε τὰ τοῦ Χαριεστάτου Λουκιανοῦ ἐν τῷ Περὶ Παρασίτου κεφ. 4.

»Οὔ ποτε ἄρα ὀρεκτέον τοῖς πολλοῖς ἀρέσκειν. ἃ μὲν γὰρ ἐκείνους εἰδείην οὐκ ἀσκοῦμεν ἡμεῖς, ἃ δὲ ἡμεῖς ἴσμεν μακράν ἐσι τῆς ἐκείνων διαθέσεως.« σελ. 341. Γράφε: »ὀρεκτέον τοῦ τοῖς πολλοῖς ἀρέσκειν.« καὶ »ἥδει« ἀντὶ τοῦ εἰδείην. Χρῆται δὲ καὶ ἀλλαχοῦ ὁ Κλήμης τῷ ἥδειν ἀντὶ τοῦ τέρπειν καὶ εὐφραίνειν, οἷον σελ. 85: »ἥδει μὲν καὶ γαργαλίζει ἡ συνήθεια,« καὶ σελ. 205: »ἡ γυνὴ τοὺς πόδας ἤλειφε τοῦ Κυρίου καὶ ἥσεν αὐτόν.« Τοῖς δὲ παλαιοῖς, ὡς δοκεῖ, οὐκ ἦν πάνυ ἐν χρήσει τὸ ἥδω. Εὗρον γοῦν ἅπαξ μόνον παρ' Ἐφίππῳ (Ἀθήν. 636 c):

ἐφίλησεν, — ἥσε, παρεμυθήσατο,
ἐποίησέ θ' ἱλαρὸν εὐθέως.

»Καὶ τὸ ἀγώνισμα ἡμῶν κατὰ τὸν Λεοντῖνον Γοργίαν, διττῶν δὲ ἀρετῶν δεῖται, τόλμης καὶ σοφίας« σελ. 346. Ἐνδεῖταί τινος ὁ λόγος πρὸς τὸ ὁλόκληρος εἶναι καὶ ὑγιής. Ἀναπλήρωσον δὲ τὸ ἐνδεὲς οὕτω: »τὸ ἀγώνισμα ἡμῶν — (διττόν), διττῶν δὲ ἀρετῶν δεῖται.« Ὁρᾷς ὅπως τὸ »διττόν« ἠφανίσθη.

»Πάμπολλα γὰρ τῶν παρὰ ταῖς αἱρέσεσι δοξαζομένων εὕροιμεν ἂν (ὅσαι μὴ τέλεον ἐκκεκώφηνται μηδὲ ἐξετμήθησαν τὴν Φυσικὴν ἀκολουθίαν καθάπερ τὸν ἄνδρα αἱ γυναικωνίτιδες ἀποκοψάμεναι τὸν Χρισόν) εἰ καὶ ἀλλήλοις ἀνόμοιοι εἶναι δοκεῖν τῷ γένει γε καὶ ὅλῃ τῇ ἀληθείᾳ ὁμολογοῦνται,« σελ. 349. Τὰ μὲν ἄλλα διορθοῦν ῥᾴδια: »εἰ καὶ ἀλλήλοις ἀνόμοια εἶναι δοκεῖ — ὁμολογοῦντα.« τὰ δὲ διὰ μέσου πολλῷ χαλεπώτερα.

Ἀδύνατον δὲ μὴ γελᾶν πρὸς τὰς γυναικωνίτιδας τὰς τὸν ἄνδρα ἀποκοπτομένας. Πῶς γὰρ ἄν τις ὃ μὴ ἔχει τοῦτο ἀποκοπείη; Οὐδεὶς πώποτε, οἶμαι, ἀπεκόψατο τὸν ἄνδρα (τουτέστιν αὐτὸς ἑκὼν ἐξετέμετο), μὴ ἀνὴρ ὢν, καὶ ταῦτα μαλακὸς καὶ ἄνανδρος. Ἀναγνωστέον οὖν »καθάπερ τὸν ἄνδρα οἱ γύννιδες.« Τίνας δὲ τούτους ἀποκαλεῖ γύννιδας διδασκέτω αὐτὸς ὁ Κλήμης σελ. 266 τάδε λέγων: »ἐνοπτριζόμεναι τοῖς ἀνδράσι. μᾶλλον δὲ οὐκ ἄνδρας, βατάλους δὲ καὶ γύννιδας καλεῖν τούτους χρὴ, ὧν καὶ αἱ φωναὶ τεθρυμμέναι καὶ ἡ ἐσθὴς τεθηλυμμένη ὑφῇ καὶ βαφῇ.« Νῦν δὴ φανερὸν τὸ λεγόμενον. Ἦσαν γὰρ αἱρέσεις τινὲς, ὡς δοκεῖ, τελέως τὸν Χριστὸν ἀπαρνησάμεναι. Πικρῶς οὖν ὁ Κλήμης: »ὥσπερ τὸν ἄνδρα οἱ γύννιδες οὕτω τῶν αἱρέσεών τινες τὸν Χριστὸν ἀπεκόψαντο.« Βδελυρώτερα μὲν ταῦτα ἀλλὰ σαφῆ καὶ γνώριμα καὶ τοῦ Κλήμεντος ἄξια.

Τὸ δὲ ἐκκεκώφηνται ἐκ τῶν μεταγενεστέρων, οἱ γὰρ παλαιοὶ ἐκκωφοῦν μόνον ἔλεγον κατὰ τὴν τῶν τοιῶνδε ἀναλογίαν, ὡς τυφλοῦν, ἐκτυφλοῦν, πηροῦν κτλ. Λωβῶνται δὲ ἀεὶ οἱ ἀντιγραφεῖς τὴν ἀρχαίαν χρῆσιν, ὡς ἐν τῷ Εὐριπίδου Ὀρέστῃ 1279:

ἆρ' ἐς τὸ κάλλος ἐκκεκώφωται ξίφη;

καὶ ἐν τοῖς Ἱππεῦσι 312:

ὅσις ἡμῶν τὰς Ἀθήνας ἐκκεκώφωκας βοῶν.

καὶ ἐν τῷ Πλάτωνος Λύσιδι 204 c: »ἡμῶν γοῦν ἐκκεκώφωκε τὰ ὦτα.« Σκέψαι δέ μοι ἐν ἑκάστῳ τούτων τὰς τῶν ἀντιγράφων γραφάς.

»Ἀντισθένης δὲ Φρὺξ ἦν καὶ Ὀρφεὺς Ὀδρύσης ἢ Θρᾴξ.« σελ. 354. Ἦν, οἶμαι, ἀμφότερα, εἴγε οἱ Ὀδρύσαι μέρος τί εἰσι τῶν Θρᾳκῶν. Περίγραφε τοίνυν τὸν ἢ σύνδεσμον.

»Νουμᾶς (γρ. Νομᾶς) ὁ Ῥωμαίων βασιλεὺς Πυθαγόρειος μὲν ἦν, ἐκ δὲ τῶν Μωϋσέως ὠφεληθεὶς διεκώλυσεν ἀνθρωποειδῆ εἰκόνα θεοῦ Ῥωμαίους κτίζειν.« σελ. 358. Ἦν ἄρ' ἀληθὲς τοῦτο »Πολυμαθίη νόον οὐ διδάσκει.« Ἐγέλασα γὰρ τὸν Νομᾶν ἐκ τῶν Μωϋσέως ὠφεληθέντα καὶ τὰς δέκα ἐντολὰς εὖ καὶ καλῶς ἐπισάμενον. Ἤσθην δὲ καὶ τῷ Νομᾷ τὰ τοῦ Πυθαγόρου ζηλοῦντι. Πολλὰ καὶ σοφὰ ὁ Κλήμης μετὰ πλείστης ἀκριβείας περὶ χρονογραφίας πεπραγματευμένος οὐδὲ τοῦτ' ἄρ' ᾔδει ὅτι ὁ Πυθαγόρας »οὐκ ὀλίγοις ἔτεσιν ἀλλὰ τέτταρσι γενεαῖς ὕλαις ὕστερος ἐγένετο

τοῦ Νομᾶ. ὁ μὲν γὰρ ἐπὶ τῆς ἑκκαιδεκάτης Ὀλυμπιάδος μεσούσης τὴν Ῥωμαίων βασιλείαν παρέλαβε, Πυθαγόρας δὲ μετὰ τὴν πεντηκοστὴν Ὀλυμπιάδα διέτριψεν ἐν Ἰταλίᾳ," ὡς γράφει Διονύσιος ὁ Ἁλικαρνασεὺς (Ἀρχαιολ. Ῥωμ. Β. 59) ὃν καλῶς εἰδὼς ὁ Κλήμης καὶ κεχρημένος τοῖς ὑπ' ἐκείνου περὶ χρονογραφίας γεγραμμένοις (σελ. 379) οὐδὲν ἧττον πάντα τὰ περὶ τοὺς χρόνους συνταράττει.

Περὶ τῶν παρὰ τοῖς Ἰνδοῖς Γυμνοσοφιστῶν διαλεγόμενος ὁ Κλήμης σελ. 359 τάδε γράφει: »διττὸν δὲ τούτων τὸ γένος, οἱ μὲν Σαρμᾶναι αὐτῶν οἱ δὲ Βραχμᾶναι καλούμενοι. καὶ τῶν Σαρμανῶν οἱ ἀλλόβιοι προσαγορευόμενοι οὔτε πόλεις οἰκοῦσιν οὔτε στέγας ἔχουσι, δένδρων δὲ ἀμφιέννυνται φλοιοῖς καὶ ἀκρόδρυα σιτοῦνται." Ὀλιγώρως εἶπεν ὁ Κλήμης Σαρμᾶναι καὶ Βραχμᾶναι δέον λέγειν Βραχμᾶνες καὶ ἤτοι Σαρμᾶνες ἢ Γαρμᾶνες, οὕτω γὰρ αὐτοὺς καλεῖ ὁ Μεγασθένης (παρὰ τῷ Στράβωνι ΙΕ. 713) διὰ τούτων: »τοὺς δὲ Γαρμᾶνας τοὺς μὲν Ὑλοβίους φησὶν ὀνομάζεσθαι (ὁ Μεγασθένης) ζῶντας ἐν ταῖς ὕλαις ἀπὸ φύλλων καὶ καρπῶν ἀγρίων ἐσθῆτος φλοιῶν δενδρείων (μήποτε γραπτέον· ἐσθῆτας ἔχοντας ἀπὸ φλοιῶν δ.) ἀφροδισίων χωρὶς καὶ οἴνου." Ἐκ τούτων τοίνυν προπάλαι διώρθωται τὸ παρὰ Κλήμεντι ἐσφαλμένον Ἀλλόβιοι, ἀλλ' οὐδεὶς τὴν διόρθωσιν οὕτως ἐναργῆ οὖσαν παρέλαβεν. Ἰσέον δὲ ὅτι καὶ τοῦτο τῶν ἐφ' ἡμῖν ἔν ἐσι τὸ τὰ σύμφωνα πρὸς τὸ ἀεὶ δέον ἢ ἅπαξ ἢ δὶς γράφειν. Ἀεὶ γάρ ποτε οἱ ἀμαθεῖς ἐν τοῖς τοιούτοις πταίουσιν »οὐδέν μοι μέλλει" γράφοντες καὶ »μέλω τι ποιήσειν," καὶ ἐλιννύειν, Ἐριννύες, τιθασσός, τιθασσεύειν, κνίσσα, Κηφισσός, διαθρυλλεῖν, πολυπάμμων, καὶ πολλὰ ἐπὶ τούτοις ἕτερα περιφανῶς ἡμαρτημένα. Τὸ μὲν τῆς ψυχῆς λῆμα (τὸ φρόνημα) λῆμμα καλοῦσιν ἀνοήτως (ὡς λῆμμα καὶ ἀνάλωμα) καὶ τὰ ἐκ τοῦ εἰλεῖν, κατειλεῖν, ἐνειλεῖν, περιειλεῖν διὰ δύο μ γράφουσι κατειλημμένα, ἐνειλημμένον. καὶ τὴν ἄλην (τὴν πλάνην) ἠλιθίως ἄλλην ὀνομάζουσι καὶ ὅταν περὶ ἁλῶν (τῶν ἁλοπηγίων) ὁ λόγος ᾖ περὶ ἄλλων φλυαροῦσιν. Εἶπεν ὁ Κλήμης σελ. 74 »ἵπποι ἑνί που συρίγματι ὑπήκουσαν τῷ δεσπότῃ." οἱ δ' ἀναίσθητοι ἀντιγραφεῖς ἀντὶ τοῦ »ἑνί που" μετέγραψαν »ἐν ἵππου." Διὰ τί δῆτα ταῦτα παρεθέμην; Ἵν' εἰδῶμεν ὅτι τῶν τοιούτων ὄφελός ἐσιν οὐδέν, καὶ ὅτι μάτην τὰ τοιαῦτα ἔκ τε τῶν ἀντιγράφων ἐπιπόνως ἀναλέγεται καὶ τοῖς παλαιοῖς συγγραφεῦσι παρατίθεται

δέον πάντα τὸν τοιοῦτον ῥύπον ἐκπλύνειν καὶ μηδὲ μνήμης ἀξιοῦν σαφῶς εἰδότας ἐφ' ἡμῖν αὐτοῖς ὄν, ἀλλ' οὐχὶ ἐπὶ τοῖς ἀντιγραφεῦσιν, ἐν ἑκάστῳ τούτων τὸ δέον δοκιμάσαντας ἐγκρίνειν.

Τοὺς τῶν ἐν Ἑλλάδι ἐνδόξων ἀνδρῶν χρόνους ἀποδεικνὺς ὁ Κλήμης τάδε παρατίθεται σελ. 366: »Ἀντίλοχος — ἀπὸ τῆς Πυθαγόρου ἡλικίας ἐπὶ τὴν Ἐπικούρου τελευτὴν, Γαμηλιῶνος δὲ δεκάτῃ ἰσαμένου γενομένην ἔτη φέρει τὰ πάντα τριακόσια δώδεκα." Οὐδὲν λέγει, ὡς ὁρᾷς. τὸν μὲν γὰρ μῆνα, ἐν ᾧ ἐτελεύτησεν ἀνὴρ, παραδοὺς τὸ ἔτος οὐ διεσάφησεν. Ἔοι δὲ τοῦτο περιφανῶς οὐ τοῦ Κλήμεντος παράπτωμα, ἀλλὰ τοῦ ἀντιγραφέως ἀβλέπτημα, τοῦ παραλιπόντος τινὰ ὀλιγώρως, ὧν ἄνευ ἡ τοῦ λεγομένου διάνοια ἐλλιπής. Τί οὖν; Ἀναπληρωτέον ὧδέ πως: »[τὴν ἐπὶ Πυθαράτου ἄρχοντος], Γαμηλιῶνος δὲ δεκάτῃ γενομένην." Αὐτὸς ὁ δὲ σύνδεσμος ἱκανῶς σημαίνει ὅτι παραπώλετό τι τοιοῦτον. Ὅτι δὲ κατὰ τοῦτο τὸ ἔτος ὁ Ἐπίκουρος τὸν βίον κατέστρεψεν οὔτε τῶν πάλαι φιλοσοφησάντων ἠγνόει οὐδεὶς καὶ νῦν πάντες οἱ φιλόλογοι ἴσμεν. Μαρτυρεῖ γὰρ πρῶτον μὲν ὁ Κικέρων περὶ Εἱμαρμένης γράφων κεφ. 9 διὰ τούτων: Moritur Epicurus cum duo et septuaginta annos vixerit, Archonte Pytharato, ἀκριβέστατα δὲ πάντων Ἀπολλόδωρος ἐν Χρονικοῖς, οὗ τὴν μαρτυρίαν προφέρεται ὁ Διογένης ὁ Λαέρτιος (Η. 14) οὕτως ἔχουσαν· »Ἐγεννήθη (ὁ Ἐπίκουρος), ὥς φησιν Ἀπολλόδωρος ἐν Χρονικοῖς, κατὰ τὸ τρίτον ἔτος τῆς ἑνάτης καὶ ἑκατοστῆς Ὀλυμπιάδος ἐπὶ Σωσιγένους ἄρχοντος μηνὸς Γαμηλιῶνος ἑβδόμῃ, — — ἐτελεύτησε δὲ κατὰ τὸ δεύτερον ἔτος τῆς ἑβδόμης καὶ εἰκοστῆς καὶ ἑκατοστῆς Ὀλυμπιάδος ἐπὶ Πυθαράτου ἔτη βιώσας δύο πρὸς τοῖς ἑβδομήκοντα." Ἐγεννήθη οὖν ἔτει 341ϛϡ πρὸ τοῦ Χριστοῦ ἐν μηνὶ, ὡς ἡμεῖς ἄγομεν, Ἰανουαρίῳ, καὶ ἐπιβιοὺς τοῖς δύο καὶ ἑβδομήκοντα ἔτεσιν ἡμέρας τρεῖς μόνας ἐν τῷ αὐτῷ μηνὶ ἔτει π. Χ. 269ϛϡ τὸν βίον μετήλλαξεν. Εἰδῶμεν δὲ τῷ Κλήμεντι χάριν ὅτι ἦν μόνην ἀμνημόνευτον εἴασεν ὁ Ἀπολλόδωρος ἡμέραν τὴν Ἐπικούρου τελευταίαν καὶ ταύτην ἡμῖν ἀκριβῶς ἐδήλωσεν.

»Ὅιδει γὰρ οἶμαι ὡς ἄρα ἤδη πολυμαθῆ νόον ἔχει ὃ διδάσκει καθ' Ἡράκλειτον" σελ. 373. Ληροῦντα ἀποφαίνει τὸν Κλήμεντα τὸ ἀναίσθητον τῶν ἀντιγραφέων γένος. Αὐτὸς ὁ Ἡράκλειτος ὧδέ πως εἶπεν· »πουλυμαθίη νόον οὐ διδάσκει," ὁ δὲ Κλη-

μης, ὡς ἔοικεν, ἔγραψεν· »ὡς ἄρα ἡ πουλυμαθίη νόον ἔχειν οὐ διδάσκει.“

Περὶ τῆς τοῦ Ὁμήρου ἡλικίας γράφων ὁ Κλήμης σελ. 388 καὶ τάδε προφέρεται· »Ἀπολλόδωρος δὲ (φησὶ φέρεσθαι αὐτὸν) μετὰ ἔτη ἑκατὸν τῆς Ἰωνικῆς ἀποικίας Ἀγησιλάου τοῦ Δορυσσαίου Λακεδαιμονίων βασιλεύοντος.“ Οὐδεὶς Δορυσσαῖος ἐν ταῖς βασιλικαῖς ἀναγραφαῖς φέρεται, οὐδ' ἔστι τοῦτο ὅλως Ἑλληνικὸν τοὔνομα. Γραπτέον δὲ πάντως »Δορυσσόου,“ οἶσθα γὰρ τὸ ἀρχαῖον Λακωνικὸν ὄνομα, ὁ Σόος καὶ ὁ Δορύσσοος. Γενεαλογῶν τὸν Λεωνίδαν ὁ Ἡρόδοτος (Z. 204) καὶ πάντας τοὺς Ἀγιάδας καταλέγων γράφει καὶ τάδε: »τοῦ Ἀρχέλεω, τοῦ Ἡγησίλεω, τοῦ Δορύσσου, τοῦ Λεωβώτεω.“ βέλτιον δ' ἴσως κἀκεῖ Δορυσσόου γράφειν Ἰασί. Ὁ δὲ Παυσανίας προειπὼν Γ. 2, 1: »τὸ γένος τὸ Εὐρυσθένους καλοῦσιν Ἀγίδας (γρ. Ἀγιάδας),“ ἐπάγει § 4: »τοὺς δὲ ἐφεξῆς βασιλεύσαντας τῆς οἰκίας ταύτης Δόρυσσον τὸν Λαβώτα[1]) καὶ Ἀγησίλαον Δορύσσου δι' ὀλίγου τὸ χρεὼν ἐπέλαβε.“ Δοκεῖ δὲ καὶ οὗτος οὐ Δόρυσσον ἀλλ' ἀττικιστὶ Δορύσσουν γεγραφέναι. Τὸ δ' ἁπλοῦν ὁ Σόος καὶ ἀττικιστὶ ὁ Σοῦς ὄνομά ἐστι τῶν Εὐρυπωντιδῶν τινός, περὶ οὗ πολλὰ γράφει ὁ Βαλκενάριος τὰς Ἀδωνιαζούσας ἐξηγούμενος σελ. 263. Ἔσφαλται δὲ τὰ τοῦ Ἡροδότου (H. 131) τοὺς Εὐρυπωντίδας καταριθμοῦντος· ἀντὶ γὰρ τοῦ: »τοῦ Εὐρυφῶντος τοῦ Προκλέος“ διορθωτέον καὶ ἀναπληρωτέον: »τοῦ Εὐρυπῶντος (τοῦ Σόου) τοῦ Προκλέος.“

Καινήν τινα κλοπὴν τοῦ Κλήμεντος ἐξελέγχωμεν τάδε παρανα-γιγνώσκοντες:

Πλούταρχος ἐν τῷ Περὶ τοῦ μὴ χρᾶν ἔμμετρα νῦν τὴν Πυθίαν. 398 D:

Κλήμης σελ. 538.

»Ἐπειδὴ ἔσημεν κατὰ τὴν πέτραν γενόμενοι τὴν κατὰ τὸ βουλευτήριον, ἐφ' ἧς λέγεται καθέ-

Φασὶ γοῦν ἐν Δελφοῖς παρὰ τὸ βουλευτήριον δείκνυσθαι πέτραν τινὰ, ἐφ' ἧς λέγεται κα-

---

[1]) Ὡς θαυμάζων γράφει ὁ Παυσανίας Γ. 2, 3: »Λεωβώτην δέ οἱ τίθεται τὸ ὄνομα (ὁ Ἡρόδοτος) ἀλλ' οὐ Λαβώταν.“ Ἀλλ', ὦ μέλε, οὗτος μέν ἐστι Δωρικὸς ὁ τύπος, ἐκεῖνος δὲ Ἰωνικός, ὡς γαμέτρας καὶ γεωμέτρης, καὶ ἄλλα πολλά.

ζεσθαι τὴν πρώτην Σίβυλλαν ἐκ τοῦ Ἑλικῶνος παραγενομένην ὑπὸ τῶν Μουσῶν τραφεῖσαν (ἔνιοι δέ φασιν εἰς Μαλεῶνα ἀφικέσθαι Λαμίας οὖσαν θυγατέρα τῆς Ποσειδῶνος) ὁ μὲν Σεραπίων ἐμνήσθη τῶν ἐπῶν ἐν οἷς ὕμνησεν ἑαυτὴν ὡς οὐδὲ ἀποθανοῦσα λήξει τῆς μαντικῆς.''

θέζεσθαι τὴν πρώτην Σίβυλλαν ἐκ τοῦ Ἑλικῶνος παραγενομένην ὑπὸ τῶν Μουσῶν τραφεῖσαν. ἔνιοι δέ φασιν ἐκ Μαλιαίων ἀφικέσθαι Λαμίας οὖσαν θυγατέρα τῆς Σιδῶνος. Σεραπίων δὲ ἐν τοῖς ἔπεσι μηδὲ ἀποθανοῦσαν λῆξαι μαντικῆς φησὶ τὴν Σίβυλλαν.

Ἐξέγραψα ταῦτα οὐ τὸ τοῦ Κλήμεντος κλεπτικὸν ἀποδείξων, ἱκανῶς γὰρ ἤδη μοι ὁ ἀνὴρ ἐξελήλεγκται, ἀλλὰ τὰ τῆς γραφῆς ἁμαρτήματα παραστήσων. Φανερώτατα γὰρ ἐκ τῶν τοιούτων τὸ τῶν ἀντιγραφέων ἀπατηλὸν καὶ ἄπιστον καταφωράται. Ὁ μὲν γὰρ Πλούταρχος, ὡς ὁρᾷς, ἀντὶ τοῦ εἰς Μαλεῶνα δῆλός ἐστι γεγραφώς ἐκ Μαλιέων, ὁ δὲ Κλήμης ἀντὶ τοῦ Μαλιαίων Μαλιέων καὶ »τῆς Ποσειδῶνος'' ἀντὶ τοῦ »τῆς Σιδῶνος.'' Διὰ πολλῶν ἐδείξαμεν ἀλλαχοῦ ὅτι ἐν τοῖς παλαιοτέροις τῶν ἀντιγράφων τὸ Κ οὐδὲν τοῦ ΙΟ διαφέρει, ὥστε ἐν τῇ τοῦ Ἡσυχίου λέξει Φέρεσθαι Λαΐσωνες (Λάκωνες) καὶ Ἄκωπος (Λΐσωπος) καὶ Κεισιβδηλευμένον ἀντὶ τοῦ Κεκιβδηλευμένον. Πολλάκις εἶδον συγκεχυμένα τὸ κτᾶσθαι καὶ ἵστασθαι, εἶδον δ' ἅπαξ τὸ ΚΑΙ εἰς τὸ ἴσαι μεταπεπτωκός. Οὕτως οὖν τὴν ΘΚ καὶ τὴν ΘΙΟ συγχέουσιν εἰσπίνειν ἀντὶ τοῦ ἐκπίνειν γράφοντες καὶ ἕτερα πολλὰ τοιαῦτα πλημμελοῦντες. Τὸ δὲ μέγιστον σφάλμα αὐτοῦ τοῦ Κλήμεντός ἐστιν οἰομένου τὸν Σεραπίωνα ποιητήν τινα γενέσθαι καὶ περὶ τῆς Σιβύλλης ἔπη συνθεῖναι. Ὁ δὲ Σεραπίων οὗτος τοῦ Πλουταρχείου διαλόγου πρόσωπόν ἐστι καὶ πρὸς τοὺς φίλους προσδιαλεγόμενος τῶν τῆς Σιβύλλης ἐπῶν μνημονεύει. Καὶ τὰ ἑξῆς δὲ πάντα ὁ Κλήμης ἐκ τῶν τοῦ Πλουτάρχου ἔλαβε, παρ' οὗ καὶ ἄλλα οὐκ ὀλίγα σφετερισάμενος ὁ δεινὸς οὗτος τῶν κλοπῶν ἐξεταστὴς οὐδὲ τοῦ ὀνόματος αὐτοῦ ἐμνήσθη οὐδέποτε, ἀλλὰ πλεῖστα δὴ μαρτύρια ποιητῶν καὶ συγγραφέων, οὓς οὐκ αὐτὸς ἀνέγνω, παρασχόμενος τῶν ἀφ' ὧν τὰ μέγιστα ὠφελήθη οὐδεμίαν μνείαν ποιησάμενος φαίνεται.

Καὶ ἐκ τῶν τοῦ Πλουτάρχου Βίων ἔνια ὁ Κλήμης ὑφελόμενος ὡς ἴδια προηνέγκατο, οἷον καὶ τόδε σελ. 360: »εἰσὶ δὲ καὶ παρὰ Γερμανοῖς αἱ ἱερὰ καλούμεναι γυναῖκες, αἳ ποταμῶν δίναις προβλέπουσαι καὶ ῥευμάτων ἰλιγμοῖς καὶ ψόφοις τεκμαίρονται

καὶ προθεσπίζουσι τὰ μέλλοντα. αὗται γοῦν οὐκ εἴασαν αὐτοὺς τὴν μάχην θέσθαι πρὸς Καίσαρα πρὶν ἐπιλάμψαι σελήνην τὴν νέαν.'' Πρὸς ταῦτα ἀντάκουέ μοι τοῦ Πλουτάρχου ἐν τῷ τοῦ Καίσαρος βίῳ κεφ. ΙΘ. τάδε λέγοντος: »ἔτι δὲ μᾶλλον αὐτοὺς ἤμβλυνε τὰ μαντεύματα τῶν ἱερῶν γυναικῶν, αἳ ποταμῶν δίναις προσβλέπουσαι καὶ ῥευμάτων ἑλιγμοῖς καὶ ψόφοις τεκμαιρόμεναι προεθέσπιζον οὐκ ἐῶσαι μάχην τίθεσθαι πρὶν ἐπιλάμψαι νέαν σελήνην.'' Ὁρᾷς ὅτι οὐκ ἦσαν τότε παρὰ τοῖς Γερμανοῖς »αἱ ἱεραὶ καλούμεναι γυναῖκες,'' ὥς φησιν ὁ Κλήμης, ἀλλ' ὁ Πλούταρχος ἀφ' ἑαυτοῦ τῶν γυναικῶν τὰς τὰ μέλλοντα προθεσπιζούσας οὐκ ἄποτρόπου ἱερὰς ἐκάλεσεν.

Διαγραπτέον τὸ ἄρθρον ἐν τούτοις σελ. 415. »δι' ἀφροσύνην οἱ νήπιοι ἀπιστοῦντες τότε, ὡς εἴρηται, ῥεχθὲν δέ τε [οἱ] νήπιοι ἔγνωσαν.'' Γνωρίζεις τὸ τοῦ Ποιητοῦ ἐκεῖνο τὸ πολυθρύλητον

πρίν τι κακὸν παθέειν. ῥεχθὲν δέ τε νήπιος ἔγνω.

καὶ τὸ Ἡσιόδειον·

παθὼν δέ τε νήπιος ἔγνω.

»Θρασυβούλῳ τοὺς ἐκπεσόντας ἀπὸ Φυλῆς καταγαγόντι καὶ βουλομένῳ λαθεῖν σῦλος ὁδηγὸς γίγνεται — ἀσελήνου καὶ δυσχειμερίου τοῦ καταςήματος γεγονότος.'' σελ. 418. Γράφε μοι πρῶτον δυσχειμέρου ἀντὶ τοῦ δυσχειμερίου, οὐδ' ὅλως γάρ ἐςιν Ἑλληνικὸν ὄνομα τὸ δυσχειμέριος, ἔπειτα δὲ σκόπει τὸ ἀνόητον τοῦ καταγαγόντι. Ἰςέον δὲ ὅτι καὶ τοῦτο τῶν ἐφ' ἡμῖν ἐςὶ τὸ διακρίνειν ἐκ τῶν ἀεὶ συμφραζομένων πότερον ΑΓΩΝ ἢ ΑΓΑΓΩΝ γραπτέον, ὡσαύτως δὲ καὶ ἔν τε τοῖς συνθέτοις πᾶσι καὶ ἐν τῷ λείπων — λιπών, φεύγων — φυγών καὶ πειθόμενος — πιθόμενος. Ὄψει γὰρ πανταχοῦ ταῦτα εἰκῇ συμπεφυρμένα παρά τε τὸ μέτρον καὶ τὸν νοῦν τῶν ἀεὶ λεγομένων. Ἆρ' ἐςὶ φανερὸν, ὦ βέλτιςε, ὅτι νῦν κατάγοντι γραπτέον ἀντὶ τοῦ καταγαγόντι;

Σμικρόν τι πταῖσμα ἔξελέ μοι σελ. 429 ἐκ τούτων: »ἃ δὲ αὐτοὶ ἐξευρηκέναι φρυάττονται τούτων ὁ ἔλεγχος· κατεπακολούθημα δὲ καὶ περὶ τῆς ἐγκυκλίου καλουμένης παιδείας.'' Δίχα μοι διάτεμνε »κατ' ἐπακολούθημα,'' οὕτω γὰρ τοῖς φιλοτόφοις λέγειν ἔθος, ὡς Κλήμης σελ. 331: »πάντων τῶν καλῶν

αἴτιος ὁ θεός, ἀλλὰ τῶν μὲν κατὰ προηγούμενον, τῶν δὲ κατ' ἐπακολούθημα." καὶ σελ. 434: »κατ' ἐπακολούθημα δ' αὖ τῆς ἐκλογῆς." Ἔσι δὲ τὸ Φραγκισὶ λεγόμενον: »par conséquent," καὶ πολλάκις καὶ τὸ ἐπακολουθεῖν, ἐπακόλουθος, -θως, -θία, -θητικός ἐπὶ τοῦ αὐτοῦ κείμενον εὑρήσεις. Σημείωσαι δέ μοι τοῦθ' ὅτι ἐν τοῖς ἀντιγράφοις τοῖς παλαιοτέροις αἱ προθέσεις τοῖς ὀνόμασιν οἷον προσκαρτῶνται καὶ συμφύονται εἰς ἕν. Γράφεται γὰρ ὑποχθόνα, ἀμφιχθόνα, προσκαιρόν, ἐπικῶμον, διαλόγου, διέχθρας, διόχλου καὶ ἄλλα μυρία τοιαῦτα. Ῥᾷσα δέ τινες ἐν τούτοις τοὺς τόνους κινοῦντες τὸν νοῦν ἀπώλεσαν. Γελοῖόν τι τούτου παράδειγμα παραθέσθαι ἄξιον. Ὁ Κλεόβουλος (ὡς ἱσορεῖ ὁ Λαέρτιος Διογένης Λ. 92) »συνεβούλευεν — οἰκέτην πάροινον μὴ κολάζειν, δοκεῖν γὰρ παροινεῖν." Ἀλλ' ἀνάξιον τοῦ Κλεοβούλου, ἑνὸς τῶν ἑπτὰ σοφῶν ὄντος, οὕτως ἄτοπα καὶ μωρὰ συμβουλεύειν· τό τε γὰρ πρᾶγμα τὸ μὴ κολάζειν δοῦλον παροινοῦντα ἠλίθιον, τὸ δὲ διὰ τί δοκεῖν γὰρ παροινεῖν πολλῷ ἔτι ἠλιθιώτερον. Εἷς τόνος πάντα ἐπανορθώσει. Γραπτέον γὰρ: »Οἰκέτην παρ' οἶνον μὴ κολάζειν. δοκεῖν γὰρ ἂν παροινεῖν." Μὴ κόλαζε (φησὶν ὁ σοφός) οἰκέτην μεταξὺ πίνων. δόξεις γὰρ μεθύειν. Ὀρθῶς γε, ὦ Κλεόβουλε.

Ἀπέδειξα πρότερον πολλάκις ὅτι ἡ πρός καὶ ἡ κατά ἐν τοῖς ἀντιγράφοις συγχέονται διὰ τὸ σημεῖά τινα δύο εἶναι ταχυγραφικὰ ἀλλήλοις παρόμοια, ὧν τὸ μὲν πρός τὸ δὲ κατά δηλοῖ. Γράφεται σελ. 438: »ὁ Πλάτων ἐν τῷ Πολιτικῷ πρὸς λέξιν φησίν." Μήτι οἴει, ὦ Φιλότης, εὖ ἔχειν τὸ »πρὸς λέξιν;"

Δύο σφάλματα ἐναντίως ἔχοντα ἅμα θεραπεύσωμεν. Γράφεται σελ. 441: »πᾶς νομοθέτης, οὗ καὶ σμικρὸν ὄφελος, παρὰ τὴν μεγίσην ἀρετὴν ἀποβλέπων μάλισα σαθήσεται τοὺς νόμους." καὶ σελ. 522: »ὡραίαν γυναῖκα ἔχων — πρὸς τῶν ἀποσόλων ἐνειδισθεὶς ζηλοτυπίαν εἰς μέσον ἀγαγὼν τὴν γυναῖκα γῆμαι τῷ βουλομένῳ ἐπέτρεψεν." Δύο ἐναντία σφάλματα ὁρᾷς ἐν τῷ »μάλισα σαθήσεται τοὺς νόμους" καὶ ἐν τῷ »ἐνειδισθεὶς ζηλοτυπίαν." Οἱ γὰρ ἀναίσθητοι ἀντιγραφεῖς καὶ οὐδὲν ἐνθυμούμενοι τὰ μεγάλοις γράμμασιν ἐφεξῆς γεγραμμένα μεταγράφοντες ἤτοι τὰ αὐτὰ δὶς κακῶς γράφουσιν ἢ ἅπαξ μόνον τὰ δὶς ἐφείλοντα γράφεσθαι.

Ἐκ γὰρ τοῦ ΜΑΛΙΣΤΑΘΗΣΕΤΑΙ ἐπλάσαντο ἡμῖν μάλισα σαθήσεται, καὶ πάλιν »ὀνειδισθεὶς ζηλοτυπίαν" ἀντὶ τοῦ »ὀνειδισθεὶς εἰς ζηλοτυπίαν." Ἀτοπώτατον μέντοι τὸ σαθήσεται τοὺς νόμους ἀντὶ τοῦ »θήσεται." Ὁ δὲ Συλβούργιος κακῶς εἰκάσας »μήποτε σαθμήσεται" οὐκ ἀνεμνήσθη ὅτι Πλατωνικὰ ταῦτα ἐκ τοῦ πρώτου τῶν Νόμων σελ. 360 c: »ὁ τῇδε παρὰ Διὸς νομοθέτης (ὁ Μίνως), πᾶς τε, οὗ καὶ σμικρὸν ὄφελος, οὐκ ἄλλο τι ἢ πρὸς τὴν μεγίσην ἀρετὴν μάλισα βλέπων ἀεὶ θήσει τοὺς νόμους." ἐξ ὧν καὶ τἆλλα τὰ παρὰ Κλήμεντι ἐσφαλμένα διορθώσεις.

Ἀνέβλαψεν ἡμῖν ἐκ ταύτης τῆς τῶν ἀντιγραφέων ὀλιγωρίας ἀναριθμητόν τι σφαλμάτων πλῆθος περί τε ἄλλα μυρία καὶ περὶ τινας προθέσεις. Τῶν νεωτέρων χάριν ὀλίγα τινὰ ὑπογράψω. Φέρεται παρὰ Πλουτάρχῳ ἐν τῷ τοῦ Γάλβα βίῳ κεφ. ια': »ἔπεισε τοὺς σρατιώτας αὐτοκράτορα τὸν Γάλβαν εἰπεῖν." διορθωτέον δὲ »τὸν Γάλβαν ἀνειπεῖν." Ἀναγορεύομεν γάρ τινα αὐτοκράτορα, οὐ λέγομεν. Ὁ δὲ Ἀθήναιος γράφει σελ. 400 d: »πλῆθος γενέσθαι λαγῶν ἐν Ἀσυπαλαίᾳ, ὥσε τοὺς Ἀσυπαλαιεῖς περὶ αὐτῶν μαντεύσασθαι. καὶ τὴν Πυθίαν εἰπεῖν κύνας τρέφειν καὶ κυνηγετεῖν." Ἀσείως πάνυ ἡ Πυθία τῶν ἠλιθίων κατειρωνεύεται, γραπτέον δὲ πάντως »τὴν Πυθίαν ἀνειπεῖν" οὐκ εἰπεῖν. Καὶ ἐν τούτῳ γὰρ παρέφθειραν οἱ μεταγενέσεροι τὴν τῶν ἀρχαίων λέξιν. Παρὰ μὲν γὰρ τοῖς ἀρχαίοις ἡ Πυθία λέγεται ἀναιρεῖν τι καὶ ἀνελεῖν [1]), παρὰ δὲ τούτοις ἀνειπεῖν. Τὸ δὲ ἀναγορεύειν τὸ ἀρχαῖον περὶ κήρυκος κυρίως ἐτίθετο καὶ οὐδὲν διέφερε τὸ ἀναγορεύω (ἀνερῶ, ἀνεῖπον, ἀνάρρημα, ἀνάρρησις) τοῦ κηρύττω, κήρυγμα κτλ. Ἀρχαῖον οὖν καὶ δόκιμόν ἐσι τὸ »ἀνεῖλεν ἡ Πυθία," ἀδόκιμον δὲ καὶ τῶν ὀψιγόνων τὸ »ἡ Πυθία ἀνεῖπεν." Μυριόλεκτον δὲ παρὰ τοῖς παλαιοῖς τοῦτο, ὡς παρὰ τῷ Ἡροδότῳ (Θ. 33) »Τισαμενῷ — ἀνεῖλε ἡ Πυθίη ἀγῶνας τοὺς μεγίσους ἀναιρήσεσθαι πέντε." Τὸ δὲ ἀνειπεῖν εὑρήσεις παρὰ τῷ Χρυσοσόμῳ Δίωνι ΛΛ. σελ. 340: »τοὺς Φυγάδας αὐτοῖς ἀνεῖπε

[1]) Πρὸς ταῦτα ἀσειότατόν τι τοῦ Πλουτάρχου ἐν τῷ Περὶ τοῦ μὴ χρᾶν ἔμμετρα νῦν τὴν Πυθίαν σελ. 403 b. παραθέσθαι ἄξιον: »Δεινομένους δὲ τοῦ Σικελιώτου μαντευομένου περὶ τῶν υἱέων ἀνεῖλεν ὡς οἱ τρεῖς τυραννεύσειεν, ὑποτυχόντος δὲ τοῦ Δεινομένους, Οἰμωξόμενοί γε, ὦ δέσποτα, Ἀπόλλων, καὶ τοῦτό οἱ ἔφη διδόναι καὶ προσαναιρεῖν." Γράφε δέ: »ὦ δέσποτα Ἄπολλον! καὶ τοῦτο κτέ.".

κατάγειν ὁ Θεός." καὶ πάλιν μετ' ὀλίγα: »χρωμένοις αὖθις λέγεται τὴν Πυθίαν οὕτως ἀνειπεῖν." καὶ ΑΓ. σελ. 367: »τὸν ἀποκτείναντα (τὸν Ἀρχίλοχον) ὁ Ἀπόλλων ἐξελαύνων ἐκ τοῦ νεὼ Μουσῶν αὐτὸν ἀνείπε θεράποντα ἀνηρηκέναι." ὁ δὲ Βυττεμβάχιος οὐδὲν δέον ἀνεῖλε διώρθου. Ἄκουε δὲ καὶ τοῦ Κλήμεντος σελ. 565: »Φασὶ καὶ δούλῳ τινὶ χρωμένῳ ποτὲ τί ἂν ποιῶν τὸν δεσπότην ἀρέσαιτο ἀνειπεῖν τὴν Πυθίαν εὑρήσεις ἐὰν ζητήσῃς." καὶ σελ. 753: »ἀνειπούσης τῆς Πυθίας·

ὦ Δελφοί, λίσσεσθ' ἀνέμους καὶ λώϊον ἔσται."

Νῦν δέ μοι διόρθωσον τὰ σελ. 749 γεγραμμένα: »Ἡροδότου — φήσαντος τὴν Πυθίαν εἰπεῖν τό τε ῥησθῆναι τοῦ θεοῦ καὶ τὸ ποιῆσαι ἴσον γενέσθαι, Ἀριστοφάνης ἔφη·

δύναται γὰρ ἴσον τῷ δρᾶν τὸ νοεῖν,

καὶ πρὸ τούτου ὁ Ἐλεάτης Παρμενίδης·

τὸ γὰρ αὐτὸ νοεῖν ἐστίν τε καὶ εἶναι,"

Ἐν τούτοις δὲ μὴ κίνει τὸ εἰπεῖν, οὐ γὰρ περὶ χρησμοῦ ὁ λόγος, ἀλλὰ περὶ ὧν ἡ Πυθία αὐτὴ τῷ Γλαύκῳ διελέχθη. γραπτέον δὲ πρῶτον μὲν »τὸ πειρηθῆναι" ἀντὶ τοῦ »τό τε ῥησθῆναι," εἶτα δέ »ἴσον δύνασθαι" ἀντὶ τοῦ »ἴσον γενέσθαι," ἐκ τῶν τοῦ Ἡροδότου ς. 86: »ἡ δὲ Πυθίη ἔφη (οὐχὶ ἀνεῖλε) τὸ πειρηθῆναι τοῦ Θεοῦ καὶ τὸ ποιῆσαι ἴσον δύνασθαι." Ἐπὶ πᾶσι δὲ σκόπει μοι τὴν μωρίαν τοῦ οἰομένου τὸν Παρμενίδην τούτοις τὰ αὐτὰ λέγειν λέγοντα: τὸ αὐτὸ νοεῖν ἐστίν τε καὶ εἶναι. Ἔστι δὲ ταῦτα, ὡς προείπομεν, γραμματικοῦ τινὸς περὶ κλοπῆς πραγματευσαμένου. Οὐ συνεῖδε δὲ ὁ ἀνὴρ ὅτι ὁ μὲν Ἀριστοφάνης καὶ ὁ Ἡρόδοτος λέγουσι τὸ ἴσον ἁμαρτάνειν τόν τε δρῶντά τι κακὸν καὶ τὸν δρᾶν διανοούμενον, ὁ δὲ φιλόσοφος τοῦτο λέγει ὅτι ὁ νοῶν πάντως καὶ ἔστιν, οὐδὲν γὰρ τὸ νοεῖν τοῦ εἶναι διαφέρειν. Περιβόητον δὲ καὶ τὸ τοῦ παρὰ Φράγκοις φιλοσόφου ἐνθύμημα: »Διανοοῦμαι, εἰμὶ ἄρα." Ποῖον δέ τινα φῶμεν εἶναι τὸν μηδὲ ταῦτα διακρίνειν δυνάμενον καὶ ὅ, τι ἂν παράμοιον ἴδῃ ὡς ἐπὶ κλέπτην ἀγριαίνοντα καὶ ὑλακτοῦντα;

»Τὸ σφαιρίζειν οὐκ ἐκ τοῦ κατὰ τέχνην πέμποντος τὴν σφαῖραν ἤρτηται μόνον, ἀλλὰ καὶ τοῦ εὐρύθμως ἀποδεχομένου προσδεῖ αὐτῷ, ἵνα δὴ κατὰ νόμους τοὺς σφαιρητικοὺς τὸ γυμνάσιον ἐκτελῆται" σελ. 442. Καλὰ ταῦτα καὶ χαρίεντα, πλὴν ἑνὸς μόνου. Οὐκ εἰσὶ »νόμοι σφαιρητικοί." Γραπτέον δὲ: »κατὰ νό-

μους τοὺς σφαιριστικούς." Χαλεπώτατον ἐν πολλοῖς ἀντιγράφοις διαγνῶναι ὁπότερον ἡ γέγραπται ἢ ισ, διὸ ταῦτα πλειστάκις συγχυθέντα ὄψει.

»Αἱ τοίνυν δυνάμεις περὶ ὧν εἰρήκαμεν κάλλη καὶ δόξας καὶ μοιχείας καὶ ἡδονὰς — προτείνουσι ταῖς εὐεπιφόροις ψυχαῖς καθάπερ οἱ ἀπελαύνοντες τὰ θρέμματα θαλλοὺς προσιέντες." σελ. 487. Οὐκ ἀνεμνήσθη ὁ Κλότζιος τῶν παγκάλως ὑπό τε τοῦ Κασαύβωνος καὶ τοῦ Ἐμστερουσίου καὶ τοῦ Ῥουγκενίου εἰρημένων περὶ τοῦ Προσείω, ὅπερ ἐπὶ κυρίως μὲν προδείκνυμι ὡς δώσων πυκνὰ κινῶν πρὸς τὸ μᾶλλον ἐρεθίζειν, τροπικῶς δὲ προτείνω ἐλπίδα, ἡδονὴν, χάριν, δῶρον, δέλεαρ ἢ ἄλλο τι τῶν τοιούτων. Τῶν δὲ νεωτέρων χάριν ἔνια τῶν τοῖς τῶν κριτικῶν κορυφαίοις περὶ τούτου γεγραμμένων παραθέσθαι βούλομαι ὀλίγ' ἄττα ἐπιδαψιλευόμενος. Ἐν τοῖς τοῦ Πλάτωνος ἀντιγράφοις περιφέρεται ἐν τῷ Φαίδρῳ σελ. 230 D. τάδε: »ὥσπερ οἱ τὰ πεινῶντα θρέμματα θαλλὸν ἢ τινα καρπὸν προσιόντες ἄγουσι, σὺ ἐμοὶ λόγους οὕτω προτείνων τὴν Ἀττικὴν φαίνει περιάξειν ἅπασαν." ἐν δὲ τοῖς τοῦ Ἀθηναίου σελ. 25 B. τάδε: ὁ θεὸς προσιὼν καθάπερ οἱ τὰ ἄλογα τῶν ζώων τοῖς θαλλοῖς ἄγοντες τοῖς τοιούτοις καρποῖς κτέ." Ὁ δὲ Κασαύβων εὐστοχώτατα ἐξεῦρε ταληθὲς »προσείοντες ἄγουσι" καὶ »προσείων — τοὺς τοιούτους καρπούς." Εἶθ' ὁ Ῥουγκένιος ἐξηγούμενος τὰς τοῦ Τιμαίου λέξεις ἐν τῷ Θαλλός πλείστας δή τινας μαρτυρίας συνέλεξέ τε καὶ διώρθωσε μεταγενεστέρων τινῶν τῶν ποικίλως πως τὸ τοῦ Πλάτωνος γλαφυρὸν καὶ ἀστεῖον ἀπομιμησαμένων, ἅπερ ἀναγνοὺς ὁ πάντων λογιώτατος Ἐμστερούσιος ἐκ τῶν ἑαυτοῦ πολλὰ καὶ χαρίεντα προσεπεμέτρησεν, ἐν δὲ τοῖς καὶ τὰ τοῦ Κλήμεντος, διδάξας ὅτι καὶ ἐκεῖ εἴη διορθωτέον »θαλλοὺς προσείοντες" ἀντὶ τοῦ ἐσφαλμένου προσιέντες. Ἐπισκεψάσθω δῆτά μοι εὐφυὴς καὶ φιλόκαλός τις νέος τὰ ὑπ' ἀμφοτέρων τῶν ἀνδρῶν παρασεσημειωμένα (πρὸς τὰ τοῦ Τιμαίου σελ. 136 καὶ ἑξῆς) καὶ οὐκ ὀλίγα πρὸς τὴν τῶν λόγων κρίσιν ὠφελήσεται. Ὄψεται γὰρ περιφανῆ τινὰ τῶν ἀντιγράφων σφάλματα καὶ σαφεῖς τε καὶ ἐναργεῖς διορθώσεις, προσείων καὶ προσείοντες καὶ προσείεις ἀντὶ τοῦ προσιών καὶ προσιόντες, προσιέντες καὶ προσίης. Τἄλλα δὲ πάντα τοῖν ἀνδροῖν θαυμαστῶς ὡς ἀποδεχόμενος περὶ ἑνὸς μόνου διστάζω. Προφέρεται γὰρ ὁ Ῥουγκένιος ἐκ τοῦ Φιλοστράτου τοῦ τοὺς τῶν Σοφιστῶν

βίους συγγεγραφότος τάδε: »τούτῳ ἀμφορέα μέν τις οἴνου προσάγων ἢ ὄψα ἢ ἐσθῆτα ἢ ἀργύριον εὐμεταχειρίστῳ ἐχρήσατο, καθάπερ οἱ τὰ πεινῶντα τῶν θρεμμάτων τῷ θαλλῷ ἄγοντες." Περιφανῶς καὶ οὗτος τῆς τοῦ Πλάτωνος ῥήσεως ἀπεμιμήσατο τὴν χάριν, ἀλλὰ τίς εἶπε πώποτε προσάγειν ἐπί τινος τῶν τοιούτων; Οὐδείς δήπου. Μεμνημένος δέ τις ὅτι ἐν τοῖς διὰ σημείων καὶ πλοκῶν γεγραμμένοις τὸ αγ καὶ εγ σχεδόν τι οὐδὲν τῆς ει διαφέρει ῥᾳδίως τἀληθὲς εὑρήσει: »ἀμφορέα οἴνου προσείων ἢ ὄψα," προδεικνὺς δῆλον ὅτι καὶ δελεάζων, ὥστε καὶ τοῦτο παρὰ τοῦ Πλάτωνος ἔλαβεν ὁ σοφιστής. Ἀντίκειται δὲ παρὰ τοῖς παλαιοῖς τῷ Προσείω τὸ Ἐπισείω, καὶ τὰ μὲν ἡδέα προσείει τις, ἐπισείει δὲ τὰ δεινά, καὶ ἐλπίδα μέν τις προσείει, φόβον δὲ ἐπισείει. Μόνος δὲ ξυμπάντων τὸ προσείειν ἐπὶ κακοῦ εἶπεν ὁ Θουκυδίδης τὰ κατημαξευμένα φεύγων ἐν τούτοις ϛ. 86: »οὐκ ἄλλον τινὰ προσείοντες φόβον ἢ ὅτι — καὶ αὐτοὶ κινδυνεύσομεν," ὃν οὐδεὶς ἐμιμήσατο· ὅ, τι δ' ἄν τις ἐκδειματῶν τινὰ καὶ ἀπειλῶν προδεικνύῃ ἐπισείειν λέγεται. Φρικῶδες τὸ Εὐριπίδειον ἐκεῖνο ἐν Ὀρέστῃ 255:

ὦ μῆτερ, ἱκετεύω σε, μὴ 'πίσειέ μοι
τὰς αἱματωποὺς καὶ δρακοντώδεις κόρας.

ἀσειότατον δὲ τὸ τοῦ Ἀλέξιδος ταῦτα παρῳδοῦντος παρὰ τῷ Ἀθηναίῳ. 339. c:

ὦ μῆτερ, ἱκετεύω σε, μὴ 'πίσειέ μοι
τὸν Μισγόλαν, οὐ γὰρ κιθαρῳδός εἰμ' ἐγώ,

τὸ δ' ἀντίγραφον τὸ παλαιὸν κακῶς »μὴ πείσειέ μοι," ὥσπερ καὶ σελ. 324 B.

ἐπὶ τὸ τάχιστον σίζον ἐπεισιὼν φέρω.

ἀντὶ τοῦ ἐπισείων, ὅπερ ἐξεύρηκεν ὁ Μεινέκιος. Κομψότατα δὲ ὁ Πλούταρχος ἐν τῷ τοῦ Θεμιστοκλέους βίῳ κεφ. 4 τάδε εἴρηκεν: »ἦ καὶ βᾶον Θεμιστοκλῆς συνέπεισε (τριήρεις ναυπηγεῖσθαι) οὐ Δαρεῖον οὐδὲ Πέρσας ἐπισείων, ἀλλὰ τῇ πρὸς Αἰγινήτας ὀργῇ ἀποχρησάμενος." ἐπισείων γὰρ εἶπεν ἀντὶ τοῦ »ἐκφοβῶν αὐτοὺς τὸν ἀπὸ τῶν βαρβάρων κίνδυνον προδεικνύς." Ἔστι δὲ καὶ τοῦ ἀνασείω καὶ προανασείω τοιάδε τις χρῆσις πάνυ Ἀττική, οἷον ἐν τῷ κατ' Ἀριστογείτονος σελ. 784, 22: »τὴν καθ' Ἡγήμονος εἰσαγγελίαν μέμνησαι ὡς ἀπέδοτο. τὰς κατὰ Δημάδου γραφὰς οἶσθ' ὡς ἐξέλιπε. — τὴν κατὰ Δημοκλέους εἰσαγγελίαν ἀνασείσας ποῖ ἔτρεψεν;" Οὐ κακῶς ὁ Ἁρποκρατίων εἰς ταῦτα ἀποβλέ-

πων: »Ἀνασείσας: ἀπειλησάμενος. Δημοσθένης κατ' Ἀριστογείτονος." ἔστι γὰρ τὸ »εἰσαγγελίαν ἀνασείσας" οὐδὲν ἄλλο ἢ »κομπωδῶς καὶ ἀπειλητικῶς ἐπαγγείλας καὶ προειπὼν ὅτι εἰσαγγελεῖ τὸν ἄνδρα." Καὶ ὅτι μὲν οὐκ ἔστι τοῦ Δημοσθένους ὁ κατ' Ἀριστογείτονος λόγος οὗτος πρόδηλον, ὅτι δὲ Ἀττικοῦ ῥήτορος τῶν τῷ Δημοσθένει συνακμασάντων σαφῶς δηλοῖ ἡ ἑρμηνεία ἥδιστον ἀττικῆς χάριτος καὶ εὐτραπελίας ὄζουσα. κἀμοὶ μὲν τὸν Ὑπερείδειον χαρακτῆρα ἐμφαίνειν δοκεῖ ὁ λόγος, τοὺς δὲ Ἀλεξανδρέως τινὸς ῥήτορος φιλοτέχνημα εἶναι τὸν λόγον οἰομένους κἂν ἓν τοῦτο τὸ δριμὺ καὶ ὄντως Ἀττικὸν ἐξελέγξειε τό: »τὴν κατὰ Δημοκλέους εἰσαγγελίαν ἀνασείσας ποῖ ἔτρεψεν;" Τῷ δὲ Προανασείω ἐχρήσατο ὁ Πλούταρχος ἐν τῷ Τιβερίου Γράκχου βίῳ κεφ. 21: »χαλεπῶς μὲν ὁ δῆμος εἶχε τῷ θανάτῳ τοῦ Τιβερίου — ἤδη δὲ καὶ δίκαι τῷ Νασικᾷ προσανεσείοντο," ὁ δὲ Κοραῆς ἄριστα διώρθωσε προανεσείοντο. τουτέστι προηπειλοῦντο. Ἀλλὰ ταῦτα μέν μοι ὡς ἐν παρόδῳ εἰρήσθω, ὥρα δὲ ὅθενπερ ἐπὶ ταῦτα ἐξέβημεν ἐπαναδραμεῖν.

»Ἐπιφάνης οὗτος υἱὸς ἦν Καρποκράτους — τὰ μὲν πρὸς πατρὸς Ἀλεξανδρεύς, ἀπὸ δὲ μητρὸς Κεφαλληνεύς, ἔζησε δὲ τὰ πάντα ἔτη ἑπταικαίδεκα καὶ θεὸς ἐν Σάμῃ τῆς Κεφαλληνίας τετίμηται." σελ. 511, τὰ μὲν ἄλλα ὀρθῶς, ἀλλ' οὐκ ἦν ὁ Ἐπιφάνης Κεφαλληνεύς. Οὐδεὶς γὰρ πώποτε Κεφαλληνεὺς ἐγένετο. Τί οὖν; ἦν, οἶμαι, Κεφαλλήν, ὡς καὶ οἱ λοιποὶ πάντες. Ἄκουε μόνον τοῦ Κλήμεντος μετ' ὀλίγα οὕτω λέγοντος: »καὶ συνιόντες εἰς τὸ ἱερὸν οἱ Κεφαλλῆνες — θύουσιν Ἐπιφάνει."

Διηγημάτιόν τι τοῦ Κλήμεντος σελ. 523 παρασημειοῦσθαι ἄξιον τοῖς περὶ τὴν τῶν Χριστιανῶν ἀρχαιολογίαν σπουδάζουσι: »Φασί τινα ἡμετέρᾳ παρθένῳ ὡραίᾳ τὴν ὄψιν προσελθόντα φάναι· Γέγραπται· παντὶ τῷ αἰτοῦντί σε δίδου, τὴν δὲ σεμνῶς πάνυ ἀποκρίνασθαι μὴ συνιεῖσαν τὴν τἀνθρώπου ἀσέλγειαν· ἀλλὰ περὶ γάμου τῇ μητρὶ διαλέγου." Σημείωσαι ὡς ἀσελγῶς ὁ βδελυρὸς τὴν θείαν τοῦ Χριστοῦ παραίνεσιν (Λουκ. ς. 30) εἰς τὸ αἰσχιστον παρατρέπει, τὸ δὲ τῆς σώφρονος παρθένου ἀφελὲς καὶ ἄκακον πάντες εὖ οἶδ' ὅτι ἀποδέξονται. Ὅτι δὲ καὶ τῶν καλουμένων Χριστιανῶν τινὲς τὰ αὐτὰ ταῦτα ῥήματα: »τῷ αἰτοῦντί σε δός" εἰς ἀσέλγειαν καὶ ἀκόλαστον γυναικῶν πρὸς ἄνδρας κοινωνίαν

ἐξεδέξαντο Φανερὸν γίγνεται ἐξ ὧν γράφει ὁ Κλήμης σελ. 436. § 34. Παρασήσεταί τινι πρὸς ταῦτα τὸ τοῦ Πλάτωνος: »μὴ καθαρῷ γὰρ καθαροῦ ἐφάπτεσθαι μὴ οὐ θεμιτὸν ἦ.''

Δύο τύποι τελέως βάρβαροι ἐν τοῖς τοῦ Κλήμεντος φαίνονται σελ. 321: »ὅτῳ δὲ ἀπήμβλυται κακὴ τροφή τε καὶ διδασκαλία τὸ τῆς ψυχῆς ὄμμα'' καὶ σελ. 562: »τοῖς δὲ μεμιασμένοις οὐδὲν καθαρὸν ἀλλὰ μεμίαται αὐτῶν καὶ ὁ νοῦς.'' ἀλλ' ἐκεῖ μὲν γραπτέον »ἀπήμβλυνται κακῇ τροφῇ τε καὶ διδασκαλίᾳ,'' ἐν δὲ θατέρῳ ὀρθῶς μεμίανται γράφεται ἐν τῇ τοῦ Παύλου πρὸς Τίτον ἐπιστολῇ, ὅθεν ταῦτα Α. 15. Οὐκ εἰδότες γὰρ οἱ ἀμαθέστεροι τῶν μεταγενεστέρων ὅ, τι ποτὲ εἴη τὸ »ὄμμα ἀπήμβλυνται'' καὶ »ὁ νοῦς μεμίανται'' καὶ πληθυντικὰ εἶναι οἰόμενοι ὡς κέχυνται, πέπλυνται καὶ τέτανται καὶ τὸ Ὁμηρικὸν πέφανται ἐν τῷ

πλέονες σέοι ἠὲ πέφανται,

ἀνοήτως πάνυ τὸ Ν ὑπεξεῖλον, ἀπήμβλυται καὶ μεμίαται γράφοντες. Τὴν δὲ τηλικαύτην αὐτῶν ἀμαθίαν διὰ πλειόνων ἐλέγξαι ἄξιον. Ἐν τῷ Ἀριστοφάνους Πλούτῳ στιχ. 655 ἐν πᾶσι τοῖς ἀντιγράφοις φέρεται ἡ βαρβαρικὴ γραφὴ ἥδε·

ἐξωμμάτωται καὶ λελάμπρυται κόρας.

ἀντὶ τοῦ λελάμπρυνται, ὁ δὲ μόνος διασώσας ταλήθὲς ἐν τοῖς σχολίοις ᾠήθη ἐν τούτοις τὰ ἑνικὰ τῶν πληθυντικῶν οὐδὲν διαφέρειν! Ἐν δὲ τῷ εἰς Σοφοκλέα ἀναφερομένῳ στίχῳ περὶ τῶν ἀκολασαινόντων γερόντων,

ὧν ἰσχὺς μὲν ἀπήμβλυνται, θυμὸς δὲ μενοινᾷ,

παρὰ τῷ Δειπνοσοφιστῇ σελ. 592 λ. τῶν μεταγενεστέρων τινὲς διὰ τὸ πληθυντικὸν εἶναι δοκεῖν τὸ ἀπήμβλυνται μετέγραψαν ὧδε·

ὧν οὐραὶ μὲν ἀπήμβλυνται, θυμὸς δὲ μενοινᾷ,

ὡς ὁ Εὐσάθιος μαρτυρεῖ σελ. 1968, 41 ἀνακφαίνεται δ' ἐκ τούτων ἡ ἀρχαία γραφὴ ἥδε· »ὧν οὐρὴ μὲν ἀπήμβλυνται,'' ἣν τινες εἰς τὸ εὐσχημονέστερον μετέπλασαν ἰσχύς γράφοντες. Ἡρώδου τοῦ μιμιάμβων ποιητοῦ φέρονται ἐν τῷ τοῦ Στοβαίου Ἀνθολογίῳ (Plg. 21) στίχοι οἵδε·

ὡς τυφλὸς οὐπίκεινα τοῦ βίου καμπτήρ
ἤδη γὰρ αὕτη τῆς ζόης ἀπήμβλυτο,

ὁ δὲ Σαλμάσιος ἐξεῦρε ταλήθές·

ἤδη γὰρ αὐγὴ τῆς ζόης ἀπήμβλυνται.

Παράβαλλε τούτοις τὰ τῷ Σχαιφέρῳ παρατετηρημένα ἐν τοῖς εἰς Ἀπολλώνιον σχολίοις σελ. 208. Πολλάκις ἑόρακα τοὺς μεταγενεσέρους ἐν τοῖς τοιούτοις ἐξολισθόντας. Ἐνίοτε γὰρ τὸ Ν ἀφανίζουσιν ὡς ἐν τῇ τοῦ Ἡσυχίου λέξει »Πέπαυται: πεπράϋται" καὶ »Πέφυρται: μεμίαται," καὶ ἐν ἄλλοις, ἄλλοτε δὲ τοῖς τοιούτοις ἀντὶ πληθυντικῶν χρῶνται, ὡς ὁ γράψας εἰς τοὺς Αἰσχύλου Πέρσας τὸ σχόλιον τοῦτο σίχ. 580: »οἱ γέροντες ἔρρανται καὶ βρέχονται τοῖς δάκρυσιν." Ἐν πᾶσι δὲ τούτοις τἀληθὲς πάλαι δὴ ἀναπέφανται καὶ ἡ τῶν γραμματικῶν ψῆφος κέκρανται καὶ πεπέρανται ἡ κρίσις, διὸ τοὺς ἀπαιδεύτους τούτους καὶ ἀμαθεῖς μετὰ γέλωτος ἀποπέμψομεν, οὐδένα γὰρ ἔτι τοῦ λοιποῦ ἐξαπατήσουσι.

Περὶ ψευδομαρτύρων τινῶν ἀνθρώπων παραμαινομένων καὶ οὐδὲν δέον πρὸς βίαιον θάνατον ὁρμώντων ὁ Κλήμης πάνυ φρονίμως τάδε γράφει σελ. 571: »Λέγομεν δὲ καὶ ἡμεῖς τοὺς ἐπιπηδήσαντας τῷ θανάτῳ· εἰσὶ γάρ τινες, οὐχ ἡμέτεροι, μόνου τοῦ ὀνόματος κοινωνοί, οἳ δὴ αὐτοὺς παραδιδόντες σπεύδουσιν οἱ ἄθλιοι θανατοῦντες." Ἔσφαλται ἐν τούτοις τό τε πρῶτον ῥῆμα καὶ τὸ ἔσχατον. Ὅτι δὲ θανατῶντες ἀντὶ τοῦ θανατοῦντες γραπτέον δῆλον ἅπασι. θανατᾶν γὰρ ἔλεγον, ὡς ὁ Ἄλεξις·

ὅσις δὲ πλεῖ θάλατταν ἢ μελαγχολᾷ
ἢ πτωχός ἐστιν ἢ θανατᾷ.

Ἀντὶ δὲ τοῦ πρώτου ῥήματος τοῦ Λέγομεν τί ἀναγνωσέον; Παραχρῆμα ἐξευρήσεις, ὦ φίλτατε Κόντος, ἀναμνησθεὶς ὅτι ἔθος τι τοῦτ' ἔχουσιν οἱ ἀντιγραφεῖς τὸ πρῶτον γράμμα ἑκάστου κόμματος ἢ περικοπῆς μὴ γράφειν ἀλλὰ παραλείπειν. τοῦ δὲ βιβλίου τέλος ἔχοντος εἴθ' ὁ αὐτὸς, εἴθ' ἕτερός τις, τὰ ἀρκτικὰ τῶν περικοπῶν γράμματα οὐ διὰ μέλανος, ἀλλὰ δι' ἐρυθροῦ, πρὸς τὸ εὐσύνοπτον προσαναπληροῖ. Σφάλλονται δὲ καὶ περὶ ταῦτα πολλὰ οἱ ἀμαθεῖς τὸ τυχὸν γράμμα προστιθέντες παρὰ τὴν τῶν Φραζομένων διάνοιαν. Διὰ πολλῶν τοῦτ' ἐδείξαμεν ἐν τοῖς τοῦ Στοβαίου συχνάκις γενόμενον. Γέγονε δὲ καὶ νῦν τι τοιοῦτον. Πρόσεχε δὴ τὸν νοῦν. γνήσιόν ἐστι τό: »*έγομεν δὲ καὶ ἡμεῖς τοὺς ἐπιπηδήσαντας τῷ θανάτῳ." τί δῆτα ἀναπληρωτέον; »Ψέγομεν," οὐ γάρ; οὐδ' ἡμεῖς (φησὶ) τοὺς τοιούτους ἐπαινοῦμεν.

Μνημονεύων ὁ Κλήμης σελ. 592 γυναικῶν τινῶν αἵτινες τῶν

ἀνδρῶν οὐδὲν ἧττον ἔφερον τοὺς πόνους καὶ ἐκαρτέρουν γράφει τάδε: »ἤδη γοῦν αἱ γυναῖκες οὐδὲν ἔλαττον τῶν ἀρρένων καὶ οἰκουροῦσι καὶ θηρεύουσι καὶ τὰς ποίμνας φυλάττουσι.

Κρῆσσα κύων ἐλάφοιο κατ' ἴχνιον ἔδραμε γοργῶς."

Ἔσφαλται περιφανῶς τὸ οἰκουροῦσι· καταλέγει γὰρ ὁ Κλήμης τὰ τῶν ἀνδρῶν ἔργα ἅπερ αἱ καρτερικαὶ ἐκεῖναι γυναῖκες οὐδὲν ἔλαττον τῶν ἀρρένων ἐπετέλουν, οἷον ἐπὶ θήραν ἐξιέναι καὶ τῶν ποιμνίων ἐπισατεῖν· τὸ δὲ οἰκουρεῖν, εἴ τι καὶ ἄλλο, γυναικεῖον καὶ παντὸς ἀπηλλαγμένον πόνου. Πολλὰ δὲ μάτην ζητήσας τὸ ἐν τῷ ΟΙΚΟΤΡΟΤΟΙ κεκρυμμένον τἀληθὲς ἐρευνᾶν καὶ ἀνιχνεύειν ἄλλοις παρίημι. Ἡμάρτηται δὲ καὶ ἐν τῷ ἑξαμέτρῳ στίχῳ τὸ »κατ' ἴχνιον ἔδραμε" καὶ ἀντὶ τοῦ κατ' ἴχνιον μεταγράψαιμ' ἂν ἡδέως »μετ' ἴχνιον." ὡς ἐν τῇ Ἰλιάδι Σ. 321:

μετ' ἀνέρος ἴχνι' ἐρευνῶν.

καὶ ἐν τῇ Ὀδυσσείᾳ πολλάκις (β. 406, γ. 30, ε. 193, η. 38):

ὣς ἄρα φωνήσασ' ἡγήσατο Παλλὰς Ἀθήνη
καρπαλίμως, ὁ δ' ἔπειτα μετ' ἴχνια βαῖνε θεοῖο.

Ἐν δὲ τοῖς τοῦ Ἀπολλωνίου Ἀργοναυτικοῖς ὀρθῶς μὲν γέγραπται Α. 741:

δὶς τόσση δὲ μετ' ἴχνια νίσσετο πέτρη.

ἀντὶ τοῦ »λίθος δὶς τοσοῦτος (τῷ Ἀμφίονι κτίζοντι τὰς Θήβας) ἠκολούθει," κακῶς δὲ Α. 575:

κατ' ἴχνια σημαντῆρος | μυρία μῆλ' ἐφέπονται.

ἐχρῆν γὰρ καὶ νῦν »μετ' ἴχνια" γεγράφθαι. Ἰσέον δὲ ὅτι ἐν τοῖς ἀντιγράφοις τοῖς εἰς τάχος γεγραμμένοις ἡ κατά καὶ ἡ μετά, ὡς ἔπος εἰπεῖν, οὐδὲν διαφέρουσι. Γράφεται γὰρ ἄνευ τῶν φωνηέντων κ καὶ μ καὶ ὁ τοῦ κάππα τύπος τῷ τοῦ μῦ οὕτως ὅμοιός ἐστιν ὥστε οὐκ ἄν τις ῥᾳδίως διαγνοίη. Διὸ καὶ πλειστάκις τὰς προθέσεις ταύτας συγκεχυμένας ὁρῶμεν, ἐνίοτε δὲ καὶ πάνυ ἀνοήτως, οἷόν ἐστιν ἐν τῷ τοῦ Στεφάνου Θησαυρῷ τὸ Μεταδουλοῦσθαι ἀντὶ τοῦ Καταδουλοῦσθαι. Προσθήσω δ' ἕτερόν τι ἐκ τῶν τοῦ Παρθενίου Ἐρωτικῶν Παθημάτων κεφ. Ιʹ: »μεταγνοὺς δὲ — καταθεῖ τὸν Ἀλάσορα καὶ — ἀφαιρεῖται τὴν κόρην." μεταθεῖ μὲν οὖν, τουτέστι δρόμῳ μεταδιώκει, οὐ γάρ; οὗ χρῆσις καὶ ἐν ταῖς τοῦ Ἰουλιανοῦ Ἐπιστολαῖς τὸ πάλαι ἦν, νῦν δ' ἠφάνισται. Γράφεται γὰρ ΙΗ: »ἴσθι γὰρ δήπου σοι τῶν λόγων — πτέρωσις, ἢ τοὺς ἑταίρους μεταθεῖναι δύνασαι." Εὐσόχως πάνυ ὁ Βυττεμβάχιος μεταθεῖν διώρθωσε, τὸ δὲ ΜΕΤΑΘΕΙΝ

ἠλίθιός τις βιβλιογράφος εἰς τὸ μεταθεῖναι παρέφθειρε, καὶ νῦν ἐκδόται τινὲς οὐδὲν τῶν ἀντιγραφέων τούτων σοφώτεροι ὄντες καίπερ ταληθοῦς εὑρεθέντος ὅμως τὸ μεταθεῖναι ἐπιμελῶς ἐτήρησαν εὐήθως πάνυ ἐπειπόντες τάδε: Licet in Juliano nullus occurrat locus (οὐδ' οἶμαι ἐν ἄλλῳ οὐδενί) ubi μεταθεῖναι eo, quo hic, sensu gaudeat (ἀλλ' οὐδὲν σημαίνει οὐδὲ νῦν, ὦ μέλε.) nihilo minus *apte dici videtur ad linguae rationem.* Οἶσθα τοῦτο τὸ γένος, ὦ βέλτιστε Κόντος, τῶν περὶ ὧν οὐδὲν ἴσασι φιλοσοφεῖν καὶ λεπτολογεῖν εἰωθότων καὶ ὡς παραπετάσματι τούτῳ τὴν ἑαυτῶν ἄγνοιαν ἐπηλυγαζομένων. Ἐγέλασα πρὸς τό: apte dici videtur ad linguae rationem! Τοῦτο δ' ἦν ἄρα πάνυ σεμνῶς οὐδὲν λέγειν. Ἀλλὰ χαιρόντων ὅσοι τοιοῦτοι, οὐ γάρ εἰσι σπουδῆς οὐδὲ λόγου ἄξιοι.

Ὀλιγώρως πάνυ γράφεται σελ. 619 »Ἱππαρχία, ἡ Κράτητος γυνή, ἐφ' ᾗ καὶ τὰ γυνογάμεια ἐν τῇ Ποικίλῃ ἐτέλεστο." ἀντὶ τοῦ »τὰ κυνογάμια" καὶ »ἐτελέσθη." Αἰσχρὸν τὰ τοιαῦτα ἀδιόρθωτα ἐᾶν οὐδενὸς ταληθὲς ἀγνοοῦντος. Ὀρθῶς δὲ τὰ κυνογάμια καλεῖται πληθυντικῶς, ὡς δὴ ἑορτή τις καὶ τελετὴ οὖσα, ἄλλοι δὲ οὐκ εὖ τὴν κυνογαμίαν ὀνομάζουσιν, οἱ δὲ ἀθλιοι ἀντιγραφεῖς, οἱ ἀεὶ τὸ Υ καὶ τὴν ΟΙ συγχέοντες, καὶ »κοινογαμίαν."

Παρατίθεται ὁ Κλήμης σελ. 657 τὸ Πινδαρικὸν ἐκεῖνο τὸ ᾀδόμενον ὑπὸ πάντων·

ἃ μεῖσα γὰρ οὐ Φιλοκερδής πω τότ' ἦν οὐδ' ἐργάτις.

Πρὸς ταῦτά μοι τὰ τοῦ Νουμηνίου ἄκουε ἐν τῇ τοῦ Εὐσεβίου Προπαρ. 733 c: »οἱ Στωϊκοὶ δὲ ὑπήκουον ἐκπεπληγμένοι· ἡ μοῦσα γὰρ αὐτοῖς οὐδὲ τότε ἦν Φιλόλογος οὐδ' ἐργάτις χαρίτων." Ἄγε δῆτα ταῦτα, ὦ Νουμήνιε.

»Ἡ μὲν Ἑλληνικὴ φιλοσοφία τῇ ἐκ τῆς θρυαλλίδος ἔοικε λαμπηδόνι, ἣν ἀνάπτουσιν ἄνθρωποι παρ' ἡλίου κλέπτοντες ἐντέχνως τὸ φῶς." σελ. 665. Ποιητικόν τι ἐμφαίνει τό:

παρ' ἡλίου κλέπτοντες ἐντέχνως τὸ φῶς.

καὶ ἡ τάξις δὲ τῶν ὀνομάτων τοῦ πεζοῦ λόγου, ὡς ὁρᾷς, ἀπᾴδει. Αἰτιῶνται δέ τινες τὸ Ἐντέχνως καί φασιν ἀντ' αὐτοῦ τεχνικῶς δεῖν λέγειν (Φρύνιχος σελ. 544). Ὑπερασπίζει δὲ αὐτοῦ ὁ

Φρύνιχος, καὶ δοκεῖ τὸ μὲν τεχνικῶς πεζότερον, τὸ δὲ ἐντέχνως ποιητικώτερον γενέσθαι.

»Φασὶ γοῦν καὶ Ἰδανθούραν τὸν Σκυθῶν βασιλέα, ὡς ἱστορεῖ Φερεκύδης ὁ Σύριος, Δαρείῳ πέμψαι μῦν, βάτραχον, ὄρνιθα, ὀϊστόν κτέ." σελ. 671. Τίς δ' οὐκ οἶδε τὰ περὶ τούτων τῷ Ἡροδότῳ γεγραμμένα ἐν τῇ τετάρτῃ; Ὁ δὲ Κλήμης τῶν ἀδοκίμων τινὰ (οὐ γὰρ ὁ Σύριος Φερεκύδης περὶ τούτων ἔγραψε) μάρτυρα παρέχεται κεκλοφότα μὲν τὰ τοῦ Ἡροδότου, τὸ δὲ ἔμψυχον καὶ ἐνεργὸν τοῦ ἀνδρὸς καὶ τῆς ἑρμηνείας τὸ ἀμίμητον διεφθαρκότα. Πολλοὶ δέ τινες πάλαι ἦσαν τοιοῦτοι ἱστορίας πολλὰς ἀμόθεν γέ ποθεν οὐδενὶ ξὺν νῷ συνερανιζόμενοι, ὧν ἕνα τοῦ γελοίου χάριν παράξω εἰς τὸ μέσον. Ὁ Σοφοκλῆς τὰ τοῦ Ἡροδότου ἐν τῇ δευτέρᾳ περὶ τῶν Αἰγυπτίων ἀναγνοὺς καὶ θαυμάσας εἶτα ἐν τῷ ἐπὶ Κολωνῷ Οἰδίποδι τάδε οὐ πάνυ τι τῇ τραγικῇ μούσῃ πρέποντα ἐποίησε στιχ. 337 καὶ ἑξῆς:

ὦ πάντ' ἐκείνῳ τοῖς ἐν Αἰγύπτῳ νόμοις
φύσιν κατεικασθέντε καὶ βίου τροφάς.
ἐκεῖ γὰρ οἱ μὲν ἄρσενες κατὰ σχέγκας
θακοῦσιν ἰσουργοῦντες, αἱ δὲ σύννομοι
τἄξω βίου τροφεῖα πορσύνουσ' ἀεί.
σφῷν δ', ὦ τέκν', οὓς μὲν εἰκὸς ἦν πονεῖν τάδε,
κατ' οἶκον οἰκουροῦσιν ὥστε παρθένοι,
σφὼ δ' ἀντ' ἐκείνων τἀμὰ δυσήνου κακὰ
ὑπερπονεῖτον.

Φανερός ἐστιν ὁ Σοφοκλῆς παραφράζων τὰ τοῦ Ἡροδότου τάδε (Β. 35): »Αἰγύπτιοι τὰ πολλὰ πάντα ἔμπαλιν τοῖσι ἄλλοισι ἀνθρώποισι ἐσήσαντο ἔθεά τε καὶ νόμους. εἰ τοῖσι αἱ μὲν γυναῖκες ἀγοράζουσι καὶ καπηλεύουσι, οἱ δὲ ἄνδρες κατ' οἴκους ἐόντες ὑφαίνουσι." Τῶν δ' ἐξηγητῶν τις τοῦ Σοφοκλέους ἀντὶ τοῦ τὰ τοῦ Ἡροδότου παραβάλλειν καὶ διδάσκειν ὅτι ὁ ποιητὴς καὶ ἀλλαχοῦ τὰ τοῦ Ἡροδότου θαυμάσας καὶ μιμησάμενος φαίνεται, μάρτυρι χρῆται τῶν ἀδοκίμων τινὶ καὶ ἀνοητοτάτων, Νυμφοδώρῳ τοὔνομα, γράφων τάδε: »Νυμφόδωρος δὲ ἐν τῷ ιγ' τῶν Βαρβαρικῶν γράφει οὕτως· —— ἐν μὲν τοῖς Ἕλλησιν οἱ μὲν ἄνδρες κατὰ τὴν ἀγορὰν οἰκονομοῦσιν [1]), αἱ δὲ γυναῖκες ἔνδον μένουσαι ταλασιουργοῦσιν.

[1]) Ἴσως ἄν τις εἰκάσειε τοῦτ' ἀκούσας εὑρῆσθαι τὸ ἄνω σελ. 514

ἐκεῖ δὲ (ἐν τῇ Αἰγύπτῳ) αἱ μὲν γυναῖκες ἐν ἀγορᾷ περιπατοῦσι καὶ καπηλεύουσιν, οἱ δὲ ἄνδρες κατὰ τὴν οἰκίαν ὑφαίνουσιν." Ὅπως μὴ ὁ Κλήμης σε ὄψεται, ὦ Νυμφόδωρε, περιφανῶς γὰρ κλέπτης τις εἶ. Ἐπάγει δὲ τούτοις τάδε: »ὁ γὰρ Σέσωστρις ἐκβηλῦναι τοὺς ἄνδρας βουλόμενος τὰ μὲν ἐκείνων ἔργα ταῖς γυναιξὶ, τὰ δὲ τῶν γυναικῶν ἐκείνοις προσέταξεν." Εἶτα τὰ κατὰ μέρος ἡμῖν ὁ βέλτιστος Νυμφόδωρος ἐπεξεργάζεται διὰ τούτων: »καὶ τοὺς μὲν ἐπὶ τῶν κεφαλῶν φέρειν τὰ φορτία, τὰς δὲ ἐπὶ τῶν ὤμων ἠνάγκασεν· ἔπειτα δὲ τοὺς μὲν καθημένους, τὰς δὲ ὀρθὰς ἑστώσας οὐρεῖν." Ὦ τοῦ καλοῦ καὶ βασιλικοῦ διατάγματος! Ποῖός τις, ὦ φίλτατε Κόντος, ὁ μέγας Σέσωστρίς σοι δοκεῖ τοιαῦτα προστάττων; μᾶλλον δὲ ποῖός τις αὐτὸς ὁ Νυμφόδωρος τοιαῦτα ἱστορῶν καὶ παριστορῶν ἐκ τῶν τοῦ Ἡροδότου τῶνδε Β. 35: »τὰ ἄχθεα οἱ μὲν ἄνδρες ἐπὶ τῶν κεφαλέων φορέουσι, αἱ δὲ γυναῖκες ἐπὶ τῶν ὤμων. Οὐρέουσι αἱ μὲν γυναῖκες ὀρθαὶ, οἱ δὲ ἄνδρες κατήμενοι." Ἐπὶ πᾶσι δὲ ποῖός τίς σοι φαίνεται ὁ τοιούτῳ μάρτυρι χρώμενος αὐτοῦ τοῦ Ἡροδότου ὀλιγωρήσας; Οὐκ ἠλίθιος καὶ ἀνόητος; Οὐκ ὀλίγους οὖν τοιούτους εὑρήσει τις, ἐὰν τὸν νοῦν προσέχῃ καὶ ἀκριβῶς πάντα λόγον ἐξετάζῃ, ἤτοι τὰ ψευδῆ μαρτυροῦντας ἢ τοῖς ψευδομαρτυροῦσιν εἰκῇ πειθομένους.

Τοῦ Ἡροδότου χάριν καὶ τὴν τῶν ἀπὸ Σκυθῶν ἡκόντων συμβόλων ἑρμηνείαν παραβάλωμεν. Ὁ μὲν Κλήμης γράφει σελ. 672: »ἐὰν μὴ ὡς ὄρνιθες ἀναπτῶμεν ἢ ὡς μύες κατὰ [τῆς] γῆς ἢ ὡς [οἱ] βάτραχοι καθ' ὕδατος δύωμεν οὐκ ἂν φύγοιμεν τὰ ἐκείνων βέλη." δὶς ἐν τούτοις, ὡς ὁρᾷς, διαγραπτέον τὸ ἄρθρον. Ὁ δὲ Ἡρόδοτος οὕτως (Δ. 132): »ἢν μὴ ὄρνιθες γενόμενοι ἀναπτῆσθε εἰς τὸν οὐρανὸν, ὦ Πέρσαι, ἢ μύες γενόμενοι κατὰ τῆς γῆς καταδύητε ἢ βάτραχοι γενόμενοι ἐς τὰς λίμνας ἐσπηδήσητε, οὐκ ἀπονοσήσετε ὀπίσω ὑπὸ τῶνδε τῶν τοξευμάτων βαλλόμενοι." Βούλει αὐτοῦ τοῦ Ἡροδότου ἀκούειν, ὦ φίλτατε; Ἄσμενος, οἶμαι. Ἄκουε δή: »ἢν μὴ ὄρνιθες γενόμενοι ἀνάπτησθε εἰς τὸν οὐρανὸν, ὦ Πέρσαι, ἢ μύες κατὰ τῆς γῆς καταδύητε ἢ βάθρακοι ἐς τὰς λίμνας ἐσπηδή-

---

ζητούμενον, καὶ ἐν τῷ ΟΙΚΟΥΡΟΥΣΙ κεκρύφθαι τὸ οἰκονομοῦσι. Ἐμοὶ δὲ οὐ πάνυ τι ἀρέσκει τὸ »κατὰ τὴν ἀγορὰν οἰκονομεῖν." βραχὺ δέ τι βέλτιον ἴσως »τὰ κατὰ τὴν ἀγορὰν οἰκονομεῖν." Ὁ δὲ Κλήμης ἀντὶ τοῦ οἰκονομεῖν ὠνόμασέ τι τῶν ἐπιπονωτέρων καὶ ἐν οἷς ἔδει σώματος ἰσχύος καὶ ῥώμης.

σητε, οὐκ ἀπονοσήσετε ὀπίσω ὑπὸ τῶνδε τῶν τοξευμάτων." Σχολαστικὸς γάρ τις τὸ μὲν γενόμενοι δὶς ἀπειροκάλως παρενέγραψε, τὸ δὲ βαλλόμενοι ἠλιθίως προσέγραψε. Τοξεύματι μὲν γὰρ βάλλεταί τις ὑπὸ τοῦ ἀφέντος, ἀλλ' οὐχὶ ὑπὸ τοῦ τοξεύματος. Ἀγνοήσας δέ τις τῶν ἀμαθεστέρων πῶς λέγοιτο τό: »οὐκ ἀπονοσήσετε ὑπὸ τῶνδε τῶν τοξευμάτων," ἐλυμήνατο τὴν ἀρχαίαν γραφήν.

Μεμψάμενος ὁ Κλήμης σελ. 676 τοῖς σκοτεινὰ καὶ αἰνιγματώδη γράφουσιν ἐπάγει: »Εὐφορίων ὁ ποιητὴς καὶ τὰ Καλλιμάχου Αἴτια καὶ ἡ Λυκόφρονος Ἀλεξάνδρα καὶ τὰ τούτοις παραπλήσια γυμνάσιον εἰς ἐξήγησιν γραμματικῶν ἔγκειται ἅπασιν." Ἀρκεῖ ῥήσεις τινὰς αὐτοῦ τοῦ Κλήμεντος παραγράφειν τὰς ἅμα τό τε πάθος καὶ τὸ φάρμακον δεικνύσας. σελ. 21: »καὶ ὅσα ἄλλα τοιαῦτα ποιητῶν ᾄδουσι παῖδες." σελ. 94. »οὐ γὰρ ἄπο τρόπου φιλοσόφων παῖδες πάντα ὅσα πράττουσιν οἱ ἀνόητοι ἀνοσιουργεῖν καὶ ἀσεβεῖν νομίζουσι." σελ. 109: »τὸ νῦν φερητικὸν γραμματικῶν νομοθετοῦσι παῖδες." σελ. 159. προσῆκον καὶ καθῆκον Στωϊκῶν ὀνομάζουσι παῖδες." σελ. 187: »καταπίπτει πτῶμα μεῖζον ἢ (γράφε ἤ) φασὶ ποιητῶν παῖδες πρὸς τοῦ Διὸς τὸν Ἴφαιστον ἐρρῖφθαι." σελ. 565: »τοὺς χρόνους τούτων παῖδες παραδιδόασι γραμματικῶν," καὶ σελ. 455 »ἐπισήμην ὁρίζονται φιλοσόφων παῖδες ἕξιν ἀμετάπτωτον ὑπὸ λόγου." Ἐκ τούτων, οἶμαι, φανερὸν ὅτι καὶ νῦν ὁ Κλήμης ἐγεγράφει: »γραμματικῶν ἔκκειται παισίν." Συγχυθέντα ὄψει παντοχοῦ ἐν συνθέτοις ΕΓ καὶ ΕΚ, ἐγκρίνειν καὶ ἐκκρίνειν καὶ τὰ τοιαῦτα, ἀλλὰ παντοχοῦ τἀληθὲς ἐκ τῶν συμφραζομένων παραχρῆμα φαίνεται.

»Οὐδὲ τοῖς τυχοῦσιν ἤθελον ἀνέδην ἐκκεῖσθαι ταῦτα οὐδὲ κοινοποιεῖσθαι τὰ σοφίας ἀγαθὰ τοῖς μηδ' ἔναρ τὴν ψυχὴν κεκαθαρμένοις· οὐ γὰρ θέμις ὀρέγειν τοῖς ἀπαντῶσι τὰ μετὰ τοσούτων ἀγώνων πορισθέντα οὐδὲ μὴν βεβήλοις τὰ τοῦ λόγου μυστήρια διηγεῖσθαι," σελ. 680. Οἶσθα ὁπόθεν ταῦτα; Ἐν τῇ Λύσιδος τοῦ Πυθαγορείου πρὸς Ἵππαρχον ἐπιστολῇ γέγραπται (παρ' Ἰαμβλίχῳ ἐν τῷ Πυθαγόρου βίῳ § 75. σώζεται δὲ καὶ αὐτὴ ἡ ἐπιστολή) »Διαμεμνᾶσθαι γὰρ ὅσιον εἶη κατὰ (γρ. εἶη κα) τῶν τήνω θείων τε καὶ ἀνθρωπείων παραγγελμάτων μηδὲ κοινὰ ποιῆσθαι τὰ σοφίας ἀγαθὰ τοῖς οὐδ' ἔναρ τὰν ψυχὰν κεκαθαρμένοις· οὐ γὰρ θέμις ὀρέ-

γεν τοῖς ἀπαντῶσι τὰ μετὰ τοσούτων ἀγώνων σπουδῇ πεποιημένα οὐδὲ μὰν βεβάλοις τὰ ταῖν Ἐλευσινίαιν θεαῖν μυστήρια διαγεῖσθαι." Οὐκ ἀκόμψως ὑπό σοφιστοῦ τινος τὸ ἐπιστόλιον πέπλασται, ὅθεν ταῦτα ὁ Κλήμης τοῖς ἰδίοις ἀσείως παρενέμιξεν.

Ἀγανακτοίη ἄν τις ἰδὼν σελ. 681 τὴν γραφὴν ταύτην· »οὔθ' οἱ μῦθοι οἱ Πυθαγόρειοι ἀλλ' οὐδ' οἱ παρὰ Πλάτωνι ἐν Πολιτείᾳ πρὸς τοῦ Ἀρμενίου." Μάτην οὖν ὁ Λεόπαρδος, μάτην δὲ αὐτὸς ὁ Κλήμης σελ. 710 (»ὁ δ' αὐτὸς Πλάτων ἐν τῷ δεκάτῳ τῆς Πολιτείας Ἱρὸς τοῦ Ἀρμενίου μέμνηται") ταληθὲς ἔδειξαν, ἀλλὰ καὶ ὡς τὸ ἀνόητον ΠΡΟΣ κατὰ χώραν μένει ἀντὶ τοῦ ΠΡΟΣ ἐκ τῆς Πολιτείας σελ. 614 B. »ἀλκίμου μὲν ἀνδρὸς, Ἱρὸς τοῦ Ἀρμενίου, τὸ γένος Παμφύλου." Ἐν τοῖς παλαιοτέροις τῶν ἀντιγράφων τὸ Π τοῦ Π οὐδὲν διαφέρει οὐδ' ἄν τις ταῦτα τοῖς ὀφθαλμοῖς διαγνοίη. Αὐτὸς ὁ Ἡσύχιος ἐν τῷ Π κατεχώρισε τὸ· »Ἱροπᾶν ἥμαρ: δι' ὅλης τῆς ἡμέρας," καὶ πάλιν τὸ »Πλακάτην: ἐριουργικὸν ἐργαλεῖον" ἐν τῷ Π. Ἐν δὲ τῇ αὐτῇ λέξει εὑρήσεις καὶ Ὀμηνὴν ἀντὶ τοῦ Ὀμπνήν, καὶ Κατέκπλησαν ἀντὶ τοῦ Κατεκήλησαν, καὶ ἄλλ' ἄττα τοιαῦτα. Ἐν τοῖς Λακωνικοῖς Ἀποφθέγμασιν, ἃ περιφέρεται μὲν ὡς τοῦ Πλουτάρχου ὄντα, συνείλεκται δὲ ἐκ τῶν τοῦ Πλουτάρχου ὑπό τινος τῶν πολλῷ μεταγενεστέρων, μνημονεύεται σελ. 220 C. Ἔφορός τις ὀνόματι Ἐμπερεπής. Ὁ δὲ Βυττεμβάχιος διδάξει μὲν μήποτε ΕΜΠΡΕΠΗΣ γραπτέον, οὐ τολμᾷ δὲ κινεῖν τὴν γραφὴν ἅτε δὴ »ἐν πᾶσι τοῖς ἀντιγράφοις κειμένην." Ἀλλὰ τούτου γ' ἕνεκα μηδὲ τὸ Ἱροπᾶν ἥμαρ κινήσῃ τις μηδὲ τὸ ΠΡΟΣ ἀντὶ τοῦ Ἱρὸς γεγραμμένον μηδὲ τῶν ἄλλων μηδὲν τῶν ἀτοπωτάτων. Ἔν γε τοῖς τοιούτοις μηδεμία τῶν ἀντιγράφων Φροντὶς ἔχω, καὶ τὸ »πάντα τὰ ἀντίγραφα συμφωνεῖ" κενός ἐστιν ὀνομάτων ψόφος διὰ τὸ πάντα τὰ ἀπόγραφα σχεδόν τι ἐξ ἑνὸς ἐξηρτῆσθαι, ὡς τὰ τοῦ Αἰσχύλου, τοῦ Σοφοκλέους, τοῦ Πλάτωνος, τοῦ Δημοσθένους, καὶ, ὡς πολλάκις ἐδείξαμεν, τὰ τοῦ Δειπνοσοφιστοῦ καὶ τὰ τοῦ Ἰαμβλίχου. Ἐροῦμεν δὲ περὶ τούτου ἀκριβέστερον ἐν τοῖς ἑξῆς, νῦν δὲ ἓν ἔτι προσθέντες ἐπὶ τὰ λοιπὰ μέτιμεν. Φέρεται ἐν τῇ τοῦ Ἡσυχίου λέξει κατὰ στοιχεῖον καὶ τόδε: »Ἀρτιμήασαν: οὐρανίαν Ἀφροδίτην ὑπὸ Σκυθῶν." ἡ δὲ θεὸς ἐκαλεῖτο Ἀρτίμπασα, ὡς ὅ τε Ἡρόδοτος μαρτυρεῖ (Δ. 59) καὶ ἀρχαῖαί τινες ἐπιγραφαὶ ἐπιμαρτυροῦσιν. Ὁ δ' ἐν τοῖς Πλουτάρχου Ἔφορος νῦν ὑπό τινων

Ἐμπρεπής καλεῖται, ἀλλ' οὐδ' οὕτω καλῶς ἔχει. ἐχρῆν γὰρ Ἐμπρέπης. οὐ γάρ;

Καλλίσην τινὰ ῥῆσιν ἐκ τοῦ Παναθηναϊκοῦ τοῦ Ἰσοκράτους ὁ Κλήμης ἐξέγραψε σελ. 687. ἦν ἄξιον πρὸς τὰ νῦν περιόντα τοῦ Ἰσοκράτους ἀντίγραφα παραβαλεῖν. Οὐδεὶς ἀγνοεῖ ὅτι τῶν τοῦ Ἰσοκράτους λόγων ἄλλα μὲν πολλὰ ἀντίγραφα σώζεται πολλαχοῦ, πάντων δὲ παλαιότατον ἅμα καὶ πιστότατον καὶ μυρίῳ κρεῖττον τῶν ἄλλων ἐστὶ τὸ ἐν τῇ Ῥώμῃ, πρὸς ὃ δὴ τὰ πλεῖστα τῶν περὶ τὰς γραφὰς ὑπὸ τῶν κριτικῶν καθίσταί τε καὶ ἁρμόζεται. Ἁμαρτάνουσι δὲ τὸ εἰωθὸς ἁμάρτημα λίαν θαυμάζοντες καὶ ὑπερασπαζόμενοι τὸ ἓν τοῦτο ἀντίγραφον ὡς δὴ σφαλμάτων ὀλίγου δεῖν τελέως ἀπηλλαγμένον. Τὸ δ' ἄρα οὐχ οὕτως ἔχει καὶ οὐκ ὀλίγα ἐκ τοῦ παλαιοτάτου ἀντιγράφου νῦν ἐγκριθέντα ὄψει πολλῷ χείρω ὄντα τῶν ἐν τοῖς ἄλλοις ἀντιγράφοις. Λαβέ μοι τούτου πεῖραν ἐν τοῖς ὑπὸ τοῦ Κλήμεντος μεταγεγραμμένοις ἐξ ἀντιγράφου τινὸς οὐκ ὀλίγῳ δὴ κρείττονος καὶ παλαιοτέρου τοῦ ἐν τῇ Ῥώμῃ. Εὑρήσεις δὲ πρῶτον τὰς παρὰ τῷ Κλήμεντι γραφὰς πολλάκις ταῖς τοῦ Ῥωμαϊκοῦ ἀντιγράφου συναδούσας, οἷον ἐν ἀρχῇ· »τίνας οὖν καλῶ πεπαιδευμένους;" ἐν τοῖς ἄλλοις ἀντὶ τοῦ καλῶ κακῶς φέρεται ἔχω. Συμφωνοῦσι δὲ καὶ ἐν τῷ ἐλαφροτάτους ἀντὶ τοῦ ἐλαφροτέρους, καὶ ἐν τῷ »ἐξισαμένους αὐτῶν" ἀντὶ τοῦ »ἐξανισαμένους." Βέλτιον δὲ γράφει ὁ Κλήμης τοῖς ἄλλοις ἀντιγράφοις ὁμοίως: »ἔτι δὲ τοὺς τῶν μὲν ἡδονῶν κτέ." καὶ μετ' ὀλίγα »ἀλλὰ πρὸς ἅπαντα ταῦτα," τὸ δὲ ἐν τῇ Ῥώμῃ ἀντίγραφον κακῶς »ἔτι τοὺς μὲν" καὶ »ἀλλὰ καὶ πρὸς ἅπαντα." Οἱ δὲ κριτικοὶ πάνθ' ὁμοίως ἐκ τοῦ ἀρχαίου βιβλίου ἐγκρίνουσιν τά τε εὖ καὶ τὰ κακῶς ἔχοντα. Καὶ ταῦτα μὲν δὴ πάντα εὐτελέστερά πως καὶ εὐκαταφρόνητα, οὐ γὰρ μαρτύρων δεόμεθα κατά γε τὴν ἐμὴν γνώμην πρὸς τὸ ἐγκρίνειν ἢ ἐκκρίνειν τὸν δὲ καὶ τὸν καί, ἀλλ' ἔνεστι τοῖς τοῦ Κλήμεντος ἕτερόν τι μεῖζον καὶ βέλτιον. Γράφεται παρὰ τῷ Ἰσοκράτει § 31. σελ. 259 λ. »τῶν δὲ συμφορῶν μὴ λίαν ἡττωμένους ἀλλ' ἀνδρωδῶς ἐν αὐταῖς διακειμένους καὶ τῆς φύσεως ἀξίως ἧς μετέχοντες τυγχάνομεν." Ἐν τούτοις τὸ διακειμένους οὐχ ἁρμόζει τῇ τοῦ Ἰσοκράτους περὶ τὴν λέξιν ἀκριβείᾳ καὶ ὀρθοεπείᾳ. τὸ γὰρ ἀνδρωδῶς διακεῖσθαι αὐτὸ μὲν καθ' ἑαυτὸ καλῶς ἔχει, τὸ δὲ »ἐν ταῖς συμφοραῖς ἀνδρωδῶς διακεῖσθαι" καὶ τὸ εὐθὺς ἐπαγόμενον τὸ »ἀξίως διακεῖ-

σθαι τῆς φύσεως ἧς μετέχομεν," τοῦτο δὲ οὐκέτι καλῶς ἔχει. Ἀλλὰ τί χρὴ μακρολογεῖν; Ὁ γὰρ Κλήμης τἀληθὲς σέσωκε μόνος· »ἀλλ' ἀνδρωδῶς ἐν αὐταῖς ἀναστρεφομένους καὶ τῆς φύσεως ἀξίως ἧς μετέχοντες τυγχάνομεν."

»Ἀριστοβούλῳ δὲ τῷ κατὰ Πτολεμαῖον γεγονότι τὸν Φιλάδελφον, οὗ μέμνηται ὁ συνταξάμενος τὴν τῶν Μακκαβαϊκῶν ἐπιτομήν, βιβλία γεγονέναι ἱκανὰ, δι' ὧν ἀποδείκνυσι τὴν περιπατητικὴν φιλοσοφίαν ἔκ τε τοῦ κατὰ Μωϋσέα νόμου καὶ τῶν ἄλλων ἡρτῆσθαι προφητῶν." σελ. 705. Ἴσμεν καλῶς τὸν Ἀριστόβουλον ἐκεῖνον, τὸν Ἰουδαῖον ὄλεθρον, τὸν ψεύστην καὶ ἀπατεῶνα, ὁ δὲ οὐ κατὰ τὸν Πτολεμαῖον τὸν Φιλάδελφον ἐγένετο, ἀλλὰ κατὰ τὸν Φιλομήτορα τὸν δεύτερον, πρὸς ὃν καὶ ἔγραψεν ἅττ' ἔγραψεν. Ἄρισα δὲ τοῦτ' εἰδὼς ὁ Κλήμης (ὡς ἐκ τῆς σελ. 410 φανερὸν γίγνεται) πῶς ποτὲ νῦν γράφει τὸν ἄνδρα πολλῷ πρότερον γεγενῆσθαι; Πολλῷ δ' ἔτι χεῖρον τὸ ἑξῆς »οὗ μέμνηται ὁ συνταξάμενος τὴν τῶν Μακκαβαϊκῶν ἐπιτομήν." Τοὔνομα μόνον κοινὸν ἔχει ὁ Ἀριστόβουλος οὗτος ἐκείνῳ ἄλλο δὲ οὐδέν. Ἐὰν δέ τις τὸν νοῦν προσέχῃ, οὐ χαλεπῶς εὑρήσει τὰ τελευταῖα ταῦτα »οὗ μέμνηται — ἐπιτομήν" παρεγγεγραμμένα καὶ νόθα ὄντα. Ἐπιεικῶς γὰρ εἰώθασι τὰ τοιαῦτα οἱ ἀναγιγνώσκοντες ἐν τοῖς τῶν βιβλίων μετωπίοις παρασημειοῦσθαι καὶ πάνυ πολλὰ τῶν τοιούτων ἐν τοῖς καλουμένοις σχολίοις περιφέρεται, ὧν ἔνιά, ὡς καὶ νῦν, εἰς τοὐδαφος παρεισδύεται. Παρεθέμεθα ἐν τῷ πρώτῳ μέρει μαρτυρίαν τινὰ τοῦ Γαληνοῦ διαρρήδην λέγοντος ὅτι τοιαῦτα ἀεί τινα ἐν τοῖς μετωπίοις εἰς ὑπόμνησιν παρέγραφον οἱ ἀναγιγνώσκοντες, κἄτα ταῦτα οἱ μεταγράφοντες ὡς αὐτοῦ τοῦ συγγραφέως ὄντα εἰς τὸ ὕφος μετετίθεσαν. Ἴσασι δὲ οἱ πολλὰ τοῖς ἀντιγράφοις ὡμιληκότες ὅτι τῶν πλείστων τὰ μετώπια γέμει τοιούτων τινῶν σχολίων καὶ παρασημειώσεων ἐνίοτε δὲ καὶ παραφθεγμάτων, οἷον »καλῶς, σοφῶς, ἀσείως, ὡραῖον, ἄξιον τὸ διανόημα," κτλ. Ἕτερα δὲ τοιαῦτα μεταξὺ τῶν στίχων παραβέβυσται, μάλιστα δὲ ἐπεξηγήσεις τινὲς καὶ μεταφράσεις ἐπὶ τὸ σαφέστερον καί τινων γλωσσῶν ἑρμηνεῖαι, καὶ εἴ τι τούτοις ὅμοιον. Παραμέμικται δὲ πᾶσι τούτοις καὶ τὰ ἐκ τοῦ κειμένου δι' ὀλιγωρίαν ἐκπεπτωκότα, ὥστε πλειστάκις συμβαίνειν τὸ ὑπὸ Γαληνοῦ εἰρημένον. Πολλάκις δὲ τοῖς ἐκ τοῦ ἐδάφους ἐκπεπτωκόσι προσιθέασιν, ἐὰν μὲν ποιητοῦ τινὸς ᾖ, τὸ στ (στίχος) ἢ στι (στίχοι), ἐὰν δὲ καταλογάδην γράφοντος, τὸ »κείμενον." Ἐν τοῖς σχολίοις τοῖς

εἰς τοὺς Ἀριστοφάνους Ὄρνιθας στίχ. 19 οὕτω γράφεται: »οὐδὲν ἄλλο πλὴν δάκνειν: στίχος·

Ἀθηναῖοι δ' ἐπὶ τῶν δικῶν ᾄδουσι πάντα τὸν βίον.«

Τῶν τοῦ Ἡρακλείτου, ὁρᾷς, ταῦτα πολλῷ σκοτεινότερα, ἐγὼ δὲ τὸ βιβλίον ἀντιβάλλων εὕρηκα τἀληθές. Ἐξεπεπτώκει γὰρ ἐκ τοῦ ὕφους τάδε (στίχ. 40)·

Ἀθηναῖοι δ' ἀεὶ
ἐπὶ τῶν δικῶν ᾄδουσι πάντα τὸν βίον.

εἶτά τις ἐν τῷ μετωπίῳ μεταξὺ τῶν σχολίων παρέγραψε: »στ' Ἀθηναῖοι κτέ.« Ταῦτα δέ τις τῶν σχολίων ἓν εἶναι οἰηθεὶς προὔθηκε τὸ »οὐδὲν ἄλλο ἢ δάκνειν,« οὗπερ ἐν τῷ ἀντιγράφῳ οὐδὲν φαίνεται, καθ' οὕτως ἡμῖν τὸ καλὸν τοῦτο σχόλιον γέγονεν. Ἵνα δέ σέ τι τέρψω, ὦ φίλτατε Κόντος, οἶδα γάρ σε τὰ εἰς τὸν Ἀριστοφάνην σχόλια ἐπιμελῶς ἀναγνόντα καὶ διορθώσαντα, κἀγώ σοι διορθώσω τὸ σχόλιον τὸ εἰς τοὺς Ἀχαρνέας στίχ. 15 »τῆτες δ' ἀπέθανον: — οἱ Δωριεῖς δὲ διὰ τοῦ Δ λέγουσι τῆδες.« Τῆδες, ὦ φίλαι Μοῦσαι, Δωριστί! Σὺ δὲ γράφε »διὰ τοῦ Λ λέγουσι τᾶτες.«

Ἀλλ' ἐπὶ τὸν Κλήμεντα παλινδρομητέον καὶ ἀντὶ τοῦ »γεγονέναι ἱκανὰ »γραπτέον »γέγονεν ἱκανά.« Αἰσχρόν γε τὰ γραφικὰ ἁμαρτήματα τὰ οὕτως ἐμφανῆ ὄντα ἀθεράπευτα καὶ ἀδιόρθωτα καταλείπειν.

Σημείωσαί μοι διὰ τὸ κακόφωνον τὸν εἰς Ὀρφέα ἀναφερόμενον στίχον, ὑποβεβλημένον δὲ ὁμοίως τοῖς ἄλλοις σελ. 725:

καὶ πόλεμον κρυόεντα καὶ ἄλγεα δακρυόεντα.

οἱ δὲ ταῦτα σκευωρησάμενοι οὔτε νοῦν εἶχον, ὡς ἔοικεν, οὔτε ὦτα.

Ὁ περὶ κλοπῆς πραγματευσάμενος, ὅστις ποτ' ἐστί, τάδε γράφει σελ. 746: »Πλάτωνος λέγοντος· διὰ τοῦτο καὶ θεοὶ τῶν ἀνθρώπων ἐπισήμονες οὓς ἂν διὰ πλείστου ποιῶνται θᾶττον ἀπαλλάττουσι τοῦ ζῆν, Μένανδρος πεποίηκεν·

ὃν οἱ θεοὶ φιλοῦσιν ἀποθνήσκει νέος.«

Ἐν τῷ Ἀξιόχῳ ταῦτα κεῖται σελ. 367 B. ὅθεν ἀνθρωπείων ἀντὶ τοῦ ἀνθρώπων διορθωτέον καὶ »περὶ πλείστου« ἀντὶ τοῦ »διὰ πλείστου.« Τὸ δὲ ἐκεῖ γραφομένον »καὶ τοῦτο καὶ οἱ θεοὶ κτέ. »ἐσφάλται ἀντὶ τοῦ »διὰ τοῦτο.«

»Σοφοκλέους ἐν Ἀντιγόνῃ ποιήσαντος

μητρός τ' ἐν Ἅιδου καὶ πατρὸς τετευχότων
οὐκ ἔστ' ἀδελφὸς ὅστις ἂν βλάστοι ποτέ.

Ἡρόδοτος λέγει· μητρὸς καὶ πατρὸς οὐκέτ' ὄντων ἀδελφὸν ἄλλον οὐχ ἕξω." σελ. 747. Δοκεῖ δῆτα τῷ ταῦτα γράψαντι ὁ Ἡρόδοτος τὰ τοῦ Σοφοκλέους κλέψαι, τὸ δ' ἄρα ἐναντίως ἔχει. Καὶ περὶ μὲν κλοπῆς ἠλίθιόν ἐστι καὶ λέγειν, ἐὰν δέ τις ἐθελήσῃ τὰ τοῦ Ἡροδότου (Γ. 119) μάλιστα δὲ τάδε: »ὦ βασιλεῦ, ἀνὴρ μέν μοι ἂν ἄλλος γένοιτο, εἰ δαίμων ἐθέλοι, καὶ τέκνα ἄλλα, εἰ ταῦτα ἀποβάλοιμι, πατρὸς δὲ καὶ μητρὸς οὐκέτι μευ ζωόντων ἀδελφεὸς ἂν ἄλλος οὐδενὶ τρόπῳ γένοιτο," ἀντεξετάζειν πρὸς τὰ τοῦ Σοφοκλέους ἐν τῇ Ἀντιγόνῃ στιχ. 909 καὶ ἑξῆς·

πόσις μὲν ἄν μοι κατθανόντος ἄλλος ἦν,
καὶ παῖς ἀπ' ἄλλου φωτός, εἰ τοῦδ' ἤμπλακον,
μητρὸς δ' ἐν Ἅιδου καὶ πατρὸς κεκευθότοιν
οὐκ ἔστ' ἀδελφὸς ὅστις ἂν βλάστοι ποτέ.

ῥᾳδίως αἰσθήσεται ὅτι ὁ Σοφοκλῆς τὰ τοῦ Ἡροδότου πάνυ σφόδρα ἀποδεξάμενος καὶ θαυμάσας εἰς τὴν Ἀντιγόνην μετήνεγκε, καθάπερ νυνδὴ κατελάβομεν αὐτὸν τὰ περὶ τῶν Αἰγυπτίων τῷ Ἡροδότῳ εἰρημένα εἰς τὸν ἐπὶ Κολωνῷ Οἰδίποδα μετενεγκόντα, καὶ ταῦτα οὐ πάνυ τι τῇ τραγῳδίᾳ πρέποντα. Φανερὸν δ' ἐκ τούτων καὶ τόδε γίγνεται ὅτι ὁ Σοφοκλῆς γέρων ὢν τὴν Ἀντιγόνην ἐδίδαξε, καὶ ὅτι περιφανῶς κατεψευσμένη ἱστορία ἐστὶ τὰ ἐν τῇ τοῦ δράματος ὑποθέσει γεγραμμένα τάδε: »Φασὶ δὲ τὸν Σοφοκλέα ἠξιῶσθαι τῆς ἐν Σάμῳ στρατηγίας εὐδοκιμήσαντα ἐπὶ τῇ διδασκαλίᾳ τῆς Ἀντιγόνης." Ἀπιθανώτατον γὰρ τοῦτο καὶ ἀτοπώτατον οὐ μόνον αὐτὸ καθ' αὑτὸ ἀλλὰ καὶ ἐπειδὴ ὁ ποιητὴς τὰ τοῦ Ἡροδότου πρότερον ἀνεγνωκὼς φαίνεται, ἂν εἰκός ἐστι γηράσαντα »τῆς ἱστορίης τὴν ἀπόδεξιν" ποιήσασθαι, ὁ δὲ Σοφοκλῆς ἔνδεκα ἔτεσι πρότερος τοῦ Ἡροδότου ἐγεγόνει. Ὁ μὲν γὰρ τραγικὸς περὶ τὸ 493ᵍᵛ πρὸ Χριστοῦ ἔτος ἐγένετο, ὁ δὲ ἱστορικὸς περὶ το 484ᵍᵛ.

»Λύτὸς οὖν Ξοραάστρης γράφει· Τάδε συνέγραψε Ξοραάστρης ὁ Ἀρμενίου τὸ γένος Παμφυλος ἐν πολέμῳ τελευτήσας ἐν Ἅιδῃ γενόμενος ἐδάην παρὰ θεῶν," σελ. 711. Μεταγράψας ταῦτα ὁ Εὐσέβιος ἐν τῇ Προπαρ. 675 D. φέρει Ζωροάστρις ἀντὶ τοῦ Ξοροάστρης καὶ »τελευτήσας ὅσα ἐν Ἅιδῃ γενόμενος ἐδάην." Αὐτὸ τοῦτο τὸ ἐδάην δείκνυσιν ὅτι συνέγραψα γραπτέον, οὐχὶ συνέγραψε. Πλὴν οὕτος ὁ γοῆς, εἴτε Ξοροάστρης εἴτε Ζωροάστρις

καλούμενος ἥδεται, φανερός ἐστιν ἐν Ἰουδαϊκῷ τινὶ ἐργαστηρίῳ πεπλασμένος, διὸ αὐτὸν μακρὰ χαίρειν κελεύομεν. Τὸ ἐνδόσιμον δὲ τῷ ταῦτα σκευωρησαμένῳ ἔδωκε τὰ τῷ Πλάτωνι γεγραμμένα ἐν τῇ Πολιτείᾳ σελ. 614 B.

»Οὔκουν χρὴ αὖθις τὰ ἀριδήλως εἰρημένα μυθολογεῖν, σελ. 841. Οὐ Κλήμεντος ὁ μῦθος, ἀλλ' ἑτέρου τινὸς κρείττονος. Φιλόστρατος ἐν τοῖς Ἡρωϊκοῖς κεφ. 17: »εἴρηται, ξένε, σοφοῖς ἀνδράσι καὶ τί ἄν τις ἀριδήλως εἰρημένων αὖθις ἅπτοιτο;" Πλούταρχος ἐν τῷ Ἐρωτικῷ σελ. 764 A: »τὰ μὲν οὖν ἀριζήλως εἰρημένα Πλάτωνι — μηδ' ἂν κελεύωμεν εἴπῃς." Σέξτος ὁ Ἐμπειρικὸς πρὸς Ἠθικούς σελ. 578 Bekk. »εἴρηται δὲ περὶ τούτων ἀκριβέστερον ἀλλαχοῦ καὶ οὐκ ἀναγκαῖον

αὖθις ἀριζήλως εἰρημένα μυθολογεύειν."

Τίς δ' οὐ μέμνηται ὅτι τὸν πρὸς Ἀλκίνουν λόγον καταπαύει ὁ Ὀδυσσεὺς τοῖσδε (Ὀδύσσ. Μ. 453).

ἐχθρὸν δέ μοί ἐστιν
αὖτις ἀριζήλως εἰρημένα μυθολογεύειν.

Ἔγραψεν ἄρα καὶ ὁ Κλήμης: »οὔκουν χρὴ αὖτις ἀριζήλως εἰρημένα μυθολογεύειν."

Τίς ὧδε μῶρος,
κατὰ τὴν ποιητικὴν χάριν,
καὶ λίαν ἀνειμένος
ἄπιστος ἀνδρῶν, ὅστις ἐλπίζει θεοὺς
ὀφῶν ἀσάρκων καὶ χολῆς πυρουμένης
ἃ καὶ κυσὶν πεινῶσιν οὐχὶ βρώσιμα
χαίρειν ἀπαρχῇ καὶ γέρας λαχεῖν τόδε;

καὶ χάριν τούτων τοῖς δρῶσιν ἐκτίνειν; σελ. 851. Ὅτι ταῦτα τοῦ πονηροῦ κόμματός ἐστι καὶ τῶν ἀρχαίων ποιητῶν παντελῶς ἀνάξια, ὦ κράτιστε Κόντος, τί δεῖ καὶ λέγειν; Ἴσως τοῦ μικροῦ Ἑκαταίου ἢ τοῦ ἀναισχύντου Ἀριστοβούλου καὶ τοῦτ' εἶναι τὸ σκευώρημα νομίζεις. Ἀλλὰ καὶ παρὰ τῷ Πορφυρίῳ ταῦτα κεῖται (Περὶ Ἀποχῆς B. 58), ὃν οὐκ ἂν ἐφενάκισαν ὄλεθροι Ἰουδαῖοι. Διευκρινῶμεν δὲ πρῶτον τὰ περὶ τὴν γραφήν. Γραπτέον γὰρ ἀνειμένως ἀντὶ τοῦ ἀνειμένος καὶ εὔπιστος ἀντὶ τοῦ ἄπιστος καὶ ἀπαρχαῖς ἀντὶ τοῦ ἀπαρχῇ. Εἶτα πρόσθες εἶχον τόνδε·

καὶ τῶνδε τοῖσι δρῶσιν ἐκτίνειν χάριν;

κακῶς γὰρ ἐδόκει ταῦτα τοῦ Κλήμεντος εἶναι. Καὶ μὴν τίνος γ' εἶναι ταῦτα ὑπολάβωμεν, ὦ Φιλότης; Ἐμοὶ μὲν κάκιστον ὄζειν δοκεῖ καὶ βδελύττομαι τὸ εὔπιστος ἀντὶ τοῦ ταχυπειθής κείμενον καὶ τὸ »λίαν εὔπιστος" καὶ τὸ »λίαν ἀνειμένως εὔπιστος" ἔτι μᾶλλον, καὶ τὴν χολὴν τὴν πυρουμένην. Πάντως δῆτα κυνός τινος, οὐκ ἀλώπεκος, ἀποπάτημα τοῦτ' ἐστὶ καὶ τῆς διεσκαπτωμένης ποιήσεως ἐκείνης λείψανον καὶ τοῦτο κοπρίων ἐκβλητότερον, κατὰ τὸν Ἡράκλειτον.

Ὅρα μοι τὴν τῶν ἐκδοτῶν ὀλιγωρίαν σελ. 898 ἐν τούτοις· »ὡσαύτως δὲ καὶ Οὐαλεντῖνον Θεοδάδι ἀκηκοέναι φέρουσι." Κἂν παῖς γνοίη ὅτι γραπτέον Θεοδᾶ διακηκοέναι." Καὶ πλείους ἤδη οὕτω γράφειν ἐκέλευσαν, οἱ δὲ οὐδὲν προσέχουσι. Ποῖος δέ τις εἶναί σοι δοκεῖ ὁ τὴν παλαιὰν γραφὴν ΘΘΟΔΑΔΙΑΚΗΚΟΘΝΑΙ ἀναγνοὺς »Θεοδάδι ἀκηκοέναι;" Τοιοῦτοι μέντοι τῶν ἀντιγραφέων οἱ πλεῖστοι ἐγένοντο ἀμαθέστατα ἤτοι τὰ συναπτέα διαχωρίζοντες ἢ τοὐναντίον τὰ διαχωριστέα συνάπτοντες. Γνήσιοί εἰσιν ἄρα μόνοι οἱ τῶν γραμμάτων τύποι, τὰ δ' ἄλλα πάντα ἐφ' ἡμῖν, ὡς ἐν ταῖς παλαιαῖς ἐπιγραφαῖς. Τηλαυγές τι παράδειγμα τούτου τοῖς εὐφυεστέροις τῶν νέων δεῖξαι βούλομαι. Γράφεται ἐν τοῖς τοῦ Ἁλικαρνασέως Διονυσίου Τόμ. Δ. σελ. 466 τάδε: »εἰκὸς τοὺς μὲν ἄνδρας αἰτοῦσα εἰ ταθείη, τοὺς δὲ δικνοηθῆναι, τοὺς δὲ εἰπεῖν." Ὁ δὲ Μάρκλανδος ἐξεῦρε τἀληθές: »τοὺς μὲν ἂν δρᾶσαι τοὺς δὲ παθεῖν." Μονονοὺ βλέπομεν τὴν ἀρχαίαν γραφὴν »τοὺς μὲν ΑΝΔΡΑCΑΙΤΟΥCΔΘΠΑΘΘΙΝ" διασίλβουσαν ἐν τῷ ἄνδρας αἰτοῦσα εἰ ταθείη, ἐν ᾧ γνήσιον οὐδὲν πλὴν οἱ τύποι τῶν γραμμάτων, καὶ τούτων δὲ τὸ μὲν Δ εἰς Λ μετέπεσε, τὸ δὲ Η εἰς ΙΓ, τὸ δὲ Ν εἰς Η. Ὡσαύτως δὲ καὶ ἐν τοῖς τοῦ Διωτογένους (Στοβ. Ἀνθολ. ΜΗ. 61. σελ. 531, 59) ὅπου φησὶν ὁ Πυθαγόρειος τοσαύτην σεμνότητα περὶ τὸν βασιλέα δεῖν εἶναι »ὥστε τὼς ποτ' αὐτὰς μὲν ὡς αὐτὸν κατακοσμηθῆμεν." ἐν τῷ ΠΟΤΑΥΤΑCΜΘΝΩC διασίλβει τὸ ποταυγασμένως ὑπὸ τοῦ Κοινίου ἐξευρεθέν (πρὸς Γρηγόρ. σελ. 195). Ἐν δὲ τῷ Ἡρακλεῖ τῷ Μαινομένῳ τοῦ Εὐριπίδου στίχ. 1101 πυθομένῳ τῷ Ἡρακλεῖ:

πράσσω δ' ἐγὼ τί λυπρὸν οὖ δακρυρροεῖς;
ἀποκρίνεται ὁ Ἀμφιτρύων κατά γε τὰ ἀντίγραφα:
ἀκανθέων τίς εἵπαθ' οἱ κατασένοι,

κατὰ δὲ τὸν Κάντερον (Novae Lectiones V. 1):

ἃ κἂν θεῶν τις εἰ πάθοι κατηξένοι.

Πάμπολλα δὲ τοιαῦτα ἐξεπίτηδες συνείλοχεν ὁ Βαλκεναίριος ἐν τῇ καλουμένῃ Διατριβῇ σελ. 276 καὶ ἑξῆς, ἐξ ὧν ὀλίγα τινὰ τοῖς νέοις ὅσον γεύματος χάριν προενεγκεῖν ἄξιον, οἷον τὸ παρὰ τῷ Δειπνοσοφιστῇ 699 c:

Μιμνέρμου δεῖ σε πόσα Κρονίων.

ἀνθ' οὗ ὁ Κασαύβων μετέγραψε·

Μιμνέρμου δ' εἰς ἔπος ἄκρον ἰών.

καὶ (σελ. 295): »ψήφισμα ὃ εἶπεν εἷς ὅτι μηδ' ἴσον," ἀντὶ τοῦ »ὃ εἶπεν Εἰσοτιμίδης (Ἰσοτιμ.)" καὶ (284) »κατὰ τὸ πυροειδὲς σῶμα" ἀντὶ τοῦ »κατοπτροειδὲς" καὶ (286) »εἶτ' ἀπό σου παρέσῃ;" ἀντὶ τοῦ »εἶτα πόσου." καὶ (288) »οὐχ ἥκιστα μὲν τὰ κρέα ἡμεῖς" ἀντὶ τοῦ »οὐχ ἥσαμεν," καὶ (291) »οὐκ ἄλλῳ ἑπόμεθα" ἀντὶ τοῦ: »οὐ καλλιεπούμεθα," καὶ (284): θύσας δὲ ἄπεισι λέγων. Τὸ μὲν ἀνδρεῖον ἔθυον οὐ προσέχουσιν οὐδέν μοι θεοῖς," ἀντὶ τοῦ: »θύσας δὲ ἄπεισι λέγων τὸ Μενάνδρειον·

ἔθυον οὐ προσέχουσιν οὐδέν μοι θεοῖς."

καὶ (286):

ὃν θ' ὡς ἔπληξεν ἡ δ' υἱὸς χειλώμασιν.

ἀντὶ τοῦ:

ὄνθῳ σε πλήξει νηδύος χιλώμασιν.

Ἀλλὰ νῦν μὲν τούτων ἄλις (μέλλω γὰρ ἐν τοῖς ἑξῆς ὡς οἷόν τε ἀκριβέστατα περὶ τῶν τοιούτων διεξιέναι), δεῖ δὲ τοὺς εὐφυεστέρους τῶν νέων τοὺς περὶ λόγων ἐξήγησιν καὶ κρίσιν σπουδάζοντας ταῦτα καὶ τὰ τούτοις παραπλήσια ἀεὶ πρόχειρα καὶ πρὸ ὀφθαλμῶν ἔχειν, ὅπως μήτε ὑπὸ τῶν ἀντιγραφέων ἐξαπατήσονται καὶ αὐτοὶ ἐν τοῖς οὕτως ἡμαρτημένοις τἀληθὲς ἐξευρήσουσιν. Ἔστι δὲ τὰ τοιαῦτα σφάλματα παλαιότατα μὲν καὶ ἀτοπώτατα, ἡ δὲ διόρθωσις ἐάν τις ἐπιστήσας τὴν διάνοιαν ἴχνους τινὸς ἐπιλάβηται ῥᾴστη τε καὶ ἐναργεστάτη.

Μίαν ἔτι μόνην ταῖς πρότερον παρασημείωσιν προσθεὶς περὶ μὲν τῶν τοῦ Κλήμεντος παύσομαι λέγων, μεταβήσομαι δὲ ἐπὶ τὰ τοῦ Πλάτωνος.

Λειμῶνος μαλακοῦ δίκην καθάπερ ἄνθεσί τισιν ἀεὶ διαποικίλλων τὸν λόγον ὁ Κλήμης οὐ μόνον τὰ ὑπὸ τῶν ποιητῶν κομψῶς καὶ

χαριέντως εἰρημένα τοῖς ἰδίοις ἐγκατασπείρας φαίνεται ἀλλὰ καὶ τῶν παλαιῶν φιλοσόφων τὰ γλαφυρώτατα ἀπανθισάμενος τὰ ἑαυτοῦ κοσμήσας καὶ καλλωπίσας διετέλεσεν. Οὐ μόνον δὲ ὅλας ῥήσεις κατὰ λέξιν παρατίθεται, ἀλλὰ καὶ ἔστιν ὅτε ὀλίγα ῥήματα ἀφέρος δίκην διαλάμποντα τίθησι. Παράδειγμα λάβε ἐκ τούτων σελ. 429: »ἃ δὲ αὐτοὶ διζησάμενοι ἑαυτοὺς ἐξευρηκέναι φρυάττονται.« Τίς πώποτε ἔξω τῆς ἀρχαίας Ἰάδος ἐχρήσατο τῷ δίζημαι καὶ ἐδιζησάμην ἀντὶ τοῦ ζητῶ καὶ ἐζήτησα; Πόθεν οὖν τοῦτ' ἔλαβεν ὁ Κλήμης; Ἀποκρινάσθω ὁ Πλούταρχος ἐν τῷ πρὸς Κολώτην σελ. 1118 c. οὕτω λέγων: »ὁ δὲ Ἡράκλειτος ὡς μέγα τι καὶ σεμνὸν διαπεπραγμένος ἐδιζησάμην φησὶν ἐμεωυτόν.« Τὰ τοιαῦτα μέντοι παρατηρεῖν ἄξιον πρός τε τὸ ὡς ἀκριβέστατα τὸ ἀεὶ λεγόμενον καταμαθεῖν καὶ πρὸς τὸ τὰ κατὰ τὴν γραφὴν ἐσφαλμένα διορθῶσαι. Ἔτι δὲ πρὸς τούτοις τὸ τὰ τοιαῦτα παρατηρεῖν χρησιμώτατον γίγνεται πρὸς τὸ τὴν τῶν ἀντιγράφων ἀξίαν καὶ πίστιν ἐξετάσαι καὶ πλῆθος ἐναργῶν σφαλμάτων πρὸς καθαρὸν τὸ φῶς κατιδεῖν. Γεννήσεται δὲ καὶ τοῦτο πᾶσι φανερὸν ὅτι ἕνια τῶν ἐσφαλμένων παντελῶς ἀνηκέστως ἔχει διὰ τὸ οὐδ' ἴχνος τῆς ἀρχαίας γραφῆς ἐν τῇ νῦν ἡμαρτημένῃ περιεῖναι, ὅτου τις λαβόμενος τἀληθοῦς ἐφίκοιτ' ἂν καὶ τὸ ἀπολωλὸς ἀνασώσειε. Μαθήσεται δ' ἐντεῦθέν τις τῶν ἀπεγνωσμένων ἀπέχεσθαι μηδὲ τὰ νῦν ἀνοήτως ἔχοντα ἔτι πολλῷ ἀνοητότερον ἐξηγεῖσθαι, ὅπερ πολλοὺς οἶσθα ποιοῦντας, ὦ κράτιστε Κόντος. Μέμνησό μοι μόνον τῶν τὸν τοῦ Αἰσχύλου Ἀγαμέμνονα ἐξηγησαμένων, οἵτινες ῥητὰ καὶ ἄρρητα λέγοντες τὰ νῦν ἀδιανόητα ἑρμηνεύειν ἀμωσγέπως βιάζονται, δέον τὰ ἀνιάτως ἔχοντα μὴ κινεῖν μεμνημένους τοῦ Αἰσχυλείου σιχιδίου·

τὰ μηδὲν ὠφελοῦντα μὴ πόνει μάτην.

Ἔχε δὲ παράδειγμα τούτου ἐξ ὧν ὁ Κλήμης γράφει σελ. 286: »ὁ δὲ Πλάτων ὑφὴν ἐκείνην ἀποδέχεται ἣ μὴ πλέον ἔργον πρόσεστι γυναικὸς σώφρονος, χρώματα δὲ λευκὰ πρέποντα ἂν εἴη σεμνότητι κτέ.« Ὁ Πλάτων τὸ τῶν ἀναθημάτων πολυτελὲς ἀποδοκιμάζων ὅρον τινὰ ἔθηκε τόνδε: »μὴ πλέον ἢ ὅσον ἂν γυνὴ σώφρων ἐργάσαιτο.« Γέλωτα κινεῖ ὁ ὁρισμὸς καὶ τὸ σώφρονος περιφανῶς ἔσφαλται. Τί δὲ ἀναγνωστέον ἀντὶ τοῦ σώφρονος; Οὐδεὶς οὕτως εὔστοχος καὶ ἀγχίνους οὔτ' ἐστὶν οὔτε μὴ γένηται ὅστις ἂν τοῦτ' ἐξεύροι. Οὐδὲν γὰρ ἴχνος τἀληθοῦς τοῖς θηρωμένοις φαίνεται. Ἀλλ' ὁ Πλάτων αὐτὸς ἑαυτῷ βοηθήσει. Γέγραπται γὰρ ἐν τῷ

δωδεκάτῳ τῶν Νόμων σελ. 956 λ. κατὰ λέξιν τάδε: »ὑφὴν δὲ μὴ πλέον ἔργον γυναικὸς μιᾶς ἔμμηνον· χρώματα δὲ λευκὰ πρέποντ' ἂν θεοῖς εἴη κτέ.'' Τίς ἆρα πώποτε ἐκ τοῦ σώφρονος οἷός τ' ἂν ἐγένετο τὸ μιᾶς ἔμμηνον ἐκφροντίσαι; Οὐδείς δήπου. Φυλαξόμεθα τοίνυν ἐν τοῖς τοιούτοις, ἐν οἷς ἐπέχειν ἀνάγκη καὶ μὴ τῶν ἀδυνάτων ἐρᾶν. Μεταβῶμεν δὲ νῦν ἐφ' ἕτερόν τι τῶν Πλατωνικῶν. Παραγράψω σοι πρῶτον μακροτέραν τινὰ ῥῆσιν τοῦ Κλήμεντος ἐκ τῆς σελ. 541 οὕτως ἔχουσαν: »τὸ μὲν ἐψεῦσθαι τῆς ἀληθείας κακόν ἐστι, τὸ δὲ ἀληθεύειν καὶ τὰ ὄντα δοξάζειν ἀγαθόν. τῶν δὲ ἀγαθῶν ἀκουσίως μὲν φέρονται ἄνθρωποι, φέρονται δὲ ὅμως ἢ κλαπέντες ἢ γοητευθέντες ἢ βιασθέντες καὶ (γρ. ἢ) μὴ πιστεύσαντες.'' Ταῦτα μὲν ὀρθῶς ἔχει καὶ πᾶσι φανερά ἐστι, τοῖς δ' ἐξῆς πάνυ μοι ἤδη πρόσεχε τὸν νοῦν. ἐξηγούμενος γὰρ τὰ προειρημένα γράφει τάδε: »'Ο μὲν δὴ πιστεύσας ἐκὼν ἤδη παραναλίσκεται, κλέπτεται δὲ ὁ μεταπεισθεὶς ἐκλαθόμενος ὅτι τῶν μὲν ὁ χρόνος, τῶν δὲ ὁ λόγος ἐξαιρούμενος λανθάνει. βιάζεταί τε πολλάκις ὀδύνῃ τε καὶ ἀλγηδὼν φιλονικία τε αὖ καὶ θυμὸς μετὰ τὸ δοξάσαι καὶ ἐπὶ πᾶσι γοητεύονται οἱ ἤτοι ὑφ' ἡδονῆς κληθέντες ἢ ὑπὸ φόβου δείσαντες.'' Μὴ ζήτει τούτων τὸν νοῦν καταμαθεῖν, ὦ φίλτατε.

ποθεῖς τὸν οὐ παρόντα καὶ καλεῖς μάτην.

Οἱ δὲ ἐκδόται ἑρμηνεύουσι μὲν πάντα Ῥωμαϊστὶ γελοίως πάνυ, ἐξηγοῦνται δ' οὔ, ὡς σαφῆ ὄντα δῆθεν. Μόνον δ' ὁ Συλβούργιος ἀντὶ τοῦ κληθέντες διώρθωσε κηληθέντες, ὀρθῶς ὥσπερ εἴωθεν, ἀλλὰ παρωνυχίαν ἰώμενος ἕλκος μέγα ἀθεράπευτον εἴασε. Μέγα ἡμῖν φῶς ἐκλάμψει ἐκ τῆς τοῦ Πλάτωνος Πολιτείας 413 λ: »οὐ τὸ μὲν ἐψεῦσθαι τῆς ἀληθείας κακόν, τὸ δ' ἀληθεύειν ἀγαθόν; ἢ οὐ τὸ τὰ ὄντα δοξάζειν ἀληθεύειν δοκεῖ σοι εἶναι; 'Αλλ', ἦ δ' ὅς, ὀρθῶς λέγεις καί μοι δοκοῦσιν ἄκοντες ἀληθοῦς δόξης στερίσκεσθαι. Οὐκοῦν κλαπέντες ἢ γοητευθέντες ἢ βιασθέντες τοῦτο πάσχουσιν; Οὐδὲ νῦν, ἔφη, μανθάνω. Τραχυτικῶς, ἦν δ' ἐγώ, κινδυνεύω λέγειν. κλαπέντας μὲν γὰρ τοὺς μεταπεισθέντας λέγω καὶ τοὺς ἐπιλανθανομένους, ὅτι τῶν μὲν χρόνος, τῶν δὲ λόγος ἐξαιρούμενος λανθάνει. νῦν γάρ που μανθάνεις; Ναί. Τοὺς τοίνυν βιασθέντας λέγω οὓς ἂν ὀδύνη τις ἢ ἀλγηδὼν μεταδοξάσαι ποιήσῃ. Καὶ τοῦτ' ἔφη, ἔμαθον καὶ ὀρθῶς λέγεις. Τοὺς μὴν γοητευθέντας, ὡς ἐγῷμαι, κἂν σὺ φαίης εἶναι οἳ ἂν μεταδοξάσωσιν ἢ ὑφ' ἡδονῆς κληθέντες ἢ ὑπὸ φόβου τι δείσαντες.'' Νῦν δήπου καὶ σὺ μανθάνεις,

ὦ κράτιστε Κόντος. Ἐπίσκεψαι δή μοι νῦν πρὸς ταῦτα τὰ τοῦ Κλήμεντος. Ὁρᾷς ὅτι ἅτε δὴ Χριστιανὸς ὢν τοῖς ὑπὸ τοῦ Πλάτωνος εἰρημένοις τέταρτόν τι γένος προσέθηκε, τοὺς μὴ πιστεύσαντας, καὶ εὐθὺς ἐπήγαγεν: »ὁ μὲν δὴ πιστεύσας (γρ. μὴ πιστεύσας) ἐκὼν ἤδη παραναλίσκεται.« Γελοιότατα ὁ ταῦτα Ῥωμαϊστὶ μεταφράσας: qui credidit quidem sua sponte capitur, αὐτὸς δὲ οὐ παραναλίσκεται μὲν (σμικρὸν δ' ἂν ἦν τὸ παρανάλωμα), ἁλίσκεται δὲ τοπαράπαν οὐδὲν ἐνθυμούμενος. Νῦν δ' οὐδεὶς πόνος τἄλλα ἐκ τῶν τοῦ Πλάτωνος διορθοῦν τε ἅμα καὶ ἀναπληροῦν. Ὁρᾷς δὲ καὶ τὸ μεταδοξάσαι γενόμενον μετὰ τὸ δοξάσαι καὶ τὸ τοῦ Συλβουργίου κηληθέντες ἀληθὲς ὄν.

Σκοπῶμεν δὲ καὶ ἕτερόν τι τοιοῦτον. Γράφεται σελ. 299: »Ἐπαίτιος δὲ ὅρκος περὶ πάντων τοῦ πωλουμένου ἀπέχω, ἀπέχω δὲ καὶ ἐπὶ τῶν ἄλλων ὁ ὅρκος.« Φρόνιμος ὁ οὐδὲν τούτων ξυνιείς, μόνος γὰρ οὐκ ὀφλήσει γέλωτα τῷ Πλάτωνι τῷ εἰπόντι ἐν τῷ ἑνδεκάτῳ τῶν Νόμων σελ. 917 c: »Ἔπαινος δὲ ὅρκος τε περὶ παντὸς τοῦ πωλουμένου ἀπέχω.«

Προστίθημι τούτοις τὸ σελ. 224 γεγραμμένον: »ὅτι μήποτε φύσιν τὴν αὐτοῦ ῥίζοθεν λήψεται γόνιμον.« Σὺ δέ μοι ἀντὶ τοῦ ῥίζοθεν γράφε ῥιζωθέν. Ὅπως δέ μοι μηδεὶς ἀντερεῖ φοβούμενος τὸν Πλάτωνα τὸν εἰπόντα ἐν ὀγδόῳ Νόμων σελ. 839 a: »μηδ' εἰς πέτρας τε καὶ λίθους σπείροντας, οὗ μήποτε φύσιν τὴν αὐτοῦ ῥιζωθὲν λήψεται γόνιμον.« Τούτοις δ' εὐθὺς ὁ Πλάτων ἐπάγει τάδε: »ἀπεχομένους δὲ ἀρούρας θηλείας πάσης, ἐν ᾗ μὴ βούλοιτ' ἄν σοι φύεσθαι τὸ σπαρέν.« Οὕτω μὲν δὴ ὁ Σταλβαύμιος ἐξέδωκεν οἰόμενος τὸ ἑξῆς εἶναι: »τὸ σπαρὲν βούλοιτ' ἄν σοι φύεσθαι,« σὺ δὲ καταγελάσας τοῦ σπαρέντος τοῦ βουλομένου ἢ μὴ βουλομένου φύεσθαι ἢ αὐτὸς ἐξεύρισκε τἀληθὲς (ῥᾴδιον γάρ) ἢ παρὰ τοῦ Κλήμεντος λάμβανε σελ. 224 οὕτω γράφοντος: »ἄθυτα δὲ παλλακίδων σπέρματα καὶ νόθα· μὴ σπεῖρε δὲ οὗ μὴ βούλοιο ἄν σοι φύεσθαι τὸ σπαρέν.« ὃν καὶ τὰ πρότερα ἐκ τῶν Νόμων σελ. 841 d: »ἄθυτα δὲ παλλακίδων σπέρματα καὶ νόθα μὴ σπείρειν.«

Παραμέμικται τοῖς τοῦ Κλήμεντος Πλατωνικὰ ἄττα καὶ σελ. 274. »μακάριος οὗτος ὄντως ἐάν τε σμικρὸς καὶ ἀσθενὴς καὶ ἄδοξος ᾖ —, ἐὰν δὲ ἄρα πλουτῇ μὲν Κινύρα τε καὶ Μίδα μᾶλλον, ᾖ δὲ ἄδικος καὶ ὑπερήφανος — ἄθλιός τέ ἐστι καὶ ἀνιαρῶς ζῇ.« Ἄκουε νῦν τοῦ Πλάτωνος ἐν δευτέρῳ Νόμων γράφοντος σελ. 660

E: »εὐδαίμων ἐστὶ καὶ μακάριος — ἐάν τε σμικρὸς καὶ ἀσθενὴς ἦ. — ἐὰν δὲ ἄρα πλουτῇ μὲν Κινύρα τε καὶ Μίδα μᾶλλον, ἦ δ' ἄδικος ἄθλιός τ' ἐστὶ καὶ ἀνιαρῶς ζῇ." Παραφράζει δὲ ὁ Πλάτων τὰ τοῦ Τυρταίου ἐν τῷ Στοβαίου Ἀνθολ. ΝΑ. 1.

οὐδ' εἰ Τιθωνοῖο φυὴν χαριέστερος εἴη,
πλουτοίη δὲ Μίδεω καὶ Κινυρέοιο μᾶλλον.

διορθοῦσί τινες »καὶ Κινύραο πλέον," ὁ δὲ Βέργκιος ἐν τοῖς Λυρικοῖς σελ. 511. »καὶ Κινύρηο πλέον," ἐγὼ δὲ τῷ Καμεραρίῳ συγκατατίθεμαι οὕτω γράφοντι·

πλουτοίη δὲ Μίδεω καὶ Κινύρεω βάθιον.

τοῦτο γὰρ καθαρῶς Ἑλληνικὸν βαθύπλουτος καὶ πλούτου βάθος, οὐ πλῆθος.

Σφόδρα ἀεὶ προσέσχον τὸν νοῦν εἴ ἄρα τι ὁ Κλήμης πρὸς τὴν τῶν Πλατωνικῶν συγγραμμάτων διόρθωσιν συμβάλοιτο οὕτω πολλὰ τοῦ Πλάτωνος κατὰ λέξιν ἑκάστοτε παραθέμενος, ἀλλὰ σχεδόν τι οὐδὲν λόγου ἄξιον πολλὰ ζητήσας εὗρον. Ἔχομεν γὰρ Πλάτωνος ἀντίγραφα πολλῷ τινι τῶν τοῦ Κλήμεντος κρείττω καὶ πιστότερα ὥστε πλειστάκις μὲν τὰς τοῦ Κλήμεντος γραφὰς ἐκ τῶν τοῦ Πλάτωνος ἐπανορθοῦσθαι, τὰς δὲ τοῦ Πλάτωνος ἅπαξ μόνον ἐκ τῶν τοῦ Κλήμεντος παραθέσεων. Προτάξας γὰρ ὁ Κλήμης σελ. 372 τὰ ἐκ τοῦ Φαίδωνος: »εἰ δὲ ὀρθῶς προὐθυμήθην καί τι ἠνύσαμεν ἐκεῖσε ἐλθόντες τὸ σαφὲς εἰσόμεθα, ἐὰν θεὸς θέλῃ, ὀλίγον ὕστερον." (Φαίδ. σελ. 69 D.) ἐπάγει τάδε: »ἆρ' οὐ δοκεῖ σοι — τὴν μετὰ θάνατον ἐλπίδα τοῦ δικαίου σαφηνίζειν κἀν τῷ Δημοδόκῳ (εἰ δὴ τοῦ Πλάτωνος τὸ σύγγραμμα)· μηδὲ ἡγοῦ τὸ φιλοσοφεῖν λέγειν περὶ τὰς τέχνας κυπτάζοντας ζῆν οὐδὲ πολυμαθοῦντα ἀλλὰ ἄλλο τι ἐπεὶ ἔγωγε ᾤμην καὶ ὄνειδος εἶναι." Ὅτι δὲ ἐν τοῖς ἐκ τοῦ Φαίδωνος ἀναγνωσέον ἠνυσάμην ἀντὶ τοῦ ἠνύσαμεν φανερὸν ἅπασιν. Ἡμάρτηται δὲ τὰ τοῦ Πλάτωνος ἀντίγραφα ὁμοίως τοῖς τοῦ Κλήμεντος, ἃ δὲ ὡς ἐκ τοῦ Δημοδόκου προφέρεται ἐν τοῖς Ἐρασταῖς γέγραπται σελ. 137 A. διὰ τῶνδε: »εἴπερ τὸ φιλοσοφεῖν ἐστὶ περὶ τὰς τέχνας ἐπισήμονας εἶναι ὧν σὺ λέγεις τὸν (περίγραφε τὸ ἄρθρον) τρόπον, — ἀλλὰ μὴ οὐχ οὕτως, ὦ φίλε, ἔχωσι μηδ' ἢ τοῦτο φιλοσοφεῖν περὶ τὰς τέχνας ἐσπευδακέναι οὐδὲ πολυπραγμονοῦντα κυπτάζοντα ζῆν οὐδὲ πολυμαθοῦντα, ἀλλ' ἄλλο τι ἐπεὶ ἐγὼ ᾤμην καὶ ὄνειδος εἶναι τοῦτο καὶ βαναύσους καλεῖσθαι τοὺς περὶ τὰς τέχνας ἐσπουδακότας." Ἐκ τούτων μὲν δὴ πρῶτον μὲν τὰ τοῦ Κλήμεντος διόρθωσον, δῆλος γάρ ἐστι γράψας: »μηδὲ ἢ

τοῦτο Φιλοσοφεῖν περὶ τὰς τέχνας κυπτάζοντα ζῆν.'' καὶ τὸ ΗΤΟΤΤΟ (ἢ τοῦτο) εἰς τὸ ἡγοῦ τὸ μεταπεσόν. ἔπειτα δὲ καὶ τὰ ἐκ τῶν Ἐραστῶν διευκρίνησον οὕτω: »μηδ' ἢ τοῦτο Φιλοσοφεῖν περὶ τὰς τέχνας [ἐσπουδακέναι οὐδὲ πολυπραγμονοῦντα] κυπτάζοντα ζῆν οὐδὲ πολυμαθοῦντα.'' Παρεμβέβληται γὰρ κακῶς τὸ [ἐσπουδακέναι οὐδὲ πολυπραγμονοῦντα], καὶ τῷ Κλήμεντι πολλὴν χάριν ἴσμεν τῷ τοῦτο μηνύσαντι.

Νῦν δὲ τοῖς Πλατωνικοῖς Δημοκρίτεια καὶ Ἡρακλείτεια ἄττα προσθέντες τὸν λόγον καταπαύσωμεν.

Διὰ πολλῶν διδάσκων ὁ Κλήμης ὅτι οἱ Ἕλληνες τὰ πλεῖστα καὶ κάλλιστα εἰς Φιλοσοφίας λόγον παρέλαβον παρὰ τῶν βαρβάρων καὶ πολλὰ περί τε τοῦ Πυθαγόρου καὶ τοῦ Πλάτωνος καὶ ἄλλων τινῶν προειπὼν ἐπάγει τάδε σελ. 556: »Δημόκριτος γὰρ τοὺς Βαβυλωνίους λόγους ἠθικοὺς πεποίηται· λέγεται γὰρ τὴν Ἀκικάρου σῆλην ἑρμηνευθεῖσαν τοῖς ἰδίοις συντάξαι συγγράμμασι, κἄσιν ἐπισημήνασθαι παρ' αὐτοῦ »Τάδε λέγει Δημόκριτος'' γράφοντος.'' Πόθεν ἄρα τοῦτ' ᾔδει ὁ Κλήμης; Παρ' αὐτοῦ τοῦ Δημοκρίτου, ὡς ἐγᾦμαι. Οὐ γὰρ λέγεται γραπτέον ἀλλὰ λέγει. Προσέτι δὲ καὶ ἀντὶ τοῦ συντάξαι ἀναγνωστέον »τοῖς ἰδίοις ἐντάξαι συγγράμμασι.'' Τὸ δὲ »τοὺς Βαβυλωνίους λόγους ἠθικοὺς πεποίηται,'' ὅ, τι ποτὲ νοεῖ χαλεπὸν εἰπεῖν. Ἐφέρετο δέ τι τοῦ Δημοκρίτου βιβλίον Περὶ τῶν ἐν Βαβυλῶνι ἱερῶν γραμμάτων, ὡς ἱστορεῖ ὁ Λαέρτιος Διογένης Θ. 49. Εἰκὸς δὲ οὐκ ἠθικούς τινας λόγους ἀλλ' ἀστρονομικοὺς καὶ μαθηματικοὺς παρὰ τῶν Χαλδαίων παραλαβεῖν τε τὸν Δημόκριτον καὶ ὡς ἰδίους προενέγκασθαι. Καλῶς ἂν ἔχοι πάντα εἰ οὕτω γράφοιμεν: »τοὺς Βαβυλωνίους λόγους ἰδίους πεποίηται,'' τουτέστιν ἐσφετέρισαι ὁ Δημόκριτος, καὶ αὐτὸς ὁμολογῶν ὅτι τὴν Ἀκικάρου σῆλην ἑρμηνευθεῖσαν τοῖς ἰδίοις συγγράμμασιν ἐντάξειεν ὅμως ταῦτα ὡς ἑαυτοῦ ὄντα παρατίθεται ἑκάστοτε προλέγων: »Τάδε λέγει Δημόκριτος.'' Ἐπὶ δὲ τούτοις μακρὰν ῥῆσιν τοῦ Δημοκρίτου ὁ Κλήμης μεταγράφει, ἧς ἡ ἀρχὴ τοιάδε: »Ἐγὼ δὲ τῶν κατ' ἐμαυτὸν ἀνθρώπων γῆν πλείστην ἐπεπλανησάμην ἱστορέων τὰ μήκιστα καὶ ἀέρας τε καὶ γέας πλείστας εἶδον καὶ λογίων ἀνθρώπων πλείστων ἐσήκουσα καὶ γραμμέων συνθέσιος μετὰ ἀποδείξιος οὐδείς κώ με παρήλλαξε.'' Ἔσφαλται δὲ τούτων ἔνια, ὡς ὁρᾷς, διορθωτέον δὲ ὧδε: — ἐμεωυτὸν — ἐπεπλανήθην — γαίας — λογίων ἀνδρῶν — ἐπήκουσα — γραμμέων συνθέσι. Καὶ ἐπὶ τέ-

λει δὲ ἐν τῷ »ἐπ' ἔτεα ὀγδώκοντα ἐπὶ ξένης ἐγενήθην" (γρ. ἐπὶ ξείνης ἐγενόμην), ζήτει μοι τί γραπτέον ἀντὶ τοῦ ὀγδώκοντα. Τῷ γὰρ πιϛὸν ἀποδημῆσαι τὸν Δημόκριτον ἐπ' ἔτη ὀγδοήκοντα; Μέμνησαι δὲ ὅτι τὸ Π καὶ τὸ Η ἐν τοῖς ἀντιγράφοις ἀδιάκριτά ἐϛι. Δύναται δὲ τὸ μὲν Π ὀγδοήκοντα, τὸ δὲ Η ὀκτώ· ὁπότερον δὲ τούτοιν πιθανώτερον, σοί, ὦ βέλτιϛε Κόντος, τὴν αἵρεσιν δίδωμι.

Ἑτέραν τινὰ ῥῆσιν τοῦ Δημοκρίτου φέρει ὁ Κλήμης σελ. 631 ἔχουσαν οὕτω: »διότι ὁ Δημόκριτος εὖ λέγει ὡς ἡ Φύσις τε καὶ διδαχὴ παραπλήσιόν ἐϛι, καὶ τὴν αἰτίαν προσαποδεδώκαμεν καὶ γὰρ ἡ διδαχὴ μεταρρυθμίζει τὸν ἄνθρωπον μεταρρυθμοῦσα δὲ Φυσιοποιεῖ, καὶ διήνεγκεν οὐδὲν ἢ Φύσει πλασθῆναι τοιόνδε ἢ χρόνῳ καὶ μαθήσει μετατυπωθῆναι." Ὅϛις ἂν ταῦτ' ἀκριβῶς ἐπισκέψηται αἰσθήσεται ῥᾳδίως ὅτι τὸ προσαποδεδώκαμεν ἔσφαλται. Οὐ γὰρ ὁ Κλήμης τὴν αἰτίαν ἀποδέδωκε, μήτι γε προσαποδέδωκε (μέλλει γὰρ νῦν αὐτὴν ἀποδώσειν), ἀλλ' αὐτὸς ὁ Δημόκριτος, οἶμαι. Γραπτέον ἄρα προσαποδέδωκεν καὶ τὰ ἑξῆς ὡς τοῦ Δημοκρίτου ὄντα ἀναγνωϛέον τε καὶ διορθωτέον. Βοηθήσει δὲ ἡμῖν πρὸς τοῦτο τὰ ὑπὸ τοῦ Γαισφόρδου ἐκ τοῦ ἐκ Φλωρεντίας ἀντιγράφου τῷ Στοβαίου Ἀνθολογίῳ προστεθέντα τάδε (Τόμ. Δ. σελ. 406, 14): »Δημοκράτους (Δημοκρίτου). Ἡ Φύσις καὶ ἡ διδαχὴ παραπλήσιόν ἐϛι· καὶ ἡ διδαχὴ μετὰ ῥυσμοῦ τὸν ἄνθρωπον, μετὰ ῥυσμοῦ δὲ ἡ Φύσις ποιεῖ." Ἀδιανόητα καὶ ταῦτα, ἀλλὰ τἀληθὲς διαϛίλβει ἐάν τις ἀναμνησθῇ ὅτι Ἀβδηριτικαῖς τισὶ λέξεσιν ὁ Δημόκριτος ἐχρῆτο, οἷον ῥυσμός καὶ τροπή καὶ διαθιγή, ὡς ἔκ τε ἄλλων τινῶν ἴσμεν καὶ ἐκ τῶν τοῦ Σουΐδα ἐν τῷ »Ῥυσμός: κατ' Ἀβδηριτικὴν διάλεκτον σημαίνει τὸ σχῆμα καὶ ἑτέραις δὲ λέξεσιν οὐχ Ἑλληνικαῖς οἱ περὶ τὸν Ἀβδηρίτην Δημόκριτον χρῶνται. Φασὶ (γρ. Φησὶ) γὰρ τροπὴν καὶ διαθιγὴν κτέ." καὶ τὸ μὲν τροπή καὶ διαθιγή σπάνιον, τὸ δὲ ῥυσμός καὶ τὰ ἐκ τούτου πολλάκις εὑρίσκεται. Σημαίνει δὲ τὸ ῥυσμός σχῆμα, τύπος, μορφή, ὅθεν τὸ ῥυσμοῦσθαι, μεταρρυσμοῦν καὶ μεταρρυσμοῦσθαι, ἀρρυσμεῖν, ὁμόρρυσμος, ὁμοιόρυσμος κτλ. Ἔγραψε δὲ καὶ ὁ Δημόκριτος κατὰ τὸν Λαέρτιον Διογένην Θ. 47. »Περὶ τῶν διαφερόντων ῥυσμῶν," καὶ »Περὶ Ἀμειψιρρυσμιῶν" καὶ πολλὰ Δημοκρίτεια ἐν τῇ τοῦ Ἡσυχίου λέξει φέρεται, οἷον·

Ῥυσμοῦσθαι: συγκρίνεσθαι.

Ἀρυσμεῖ: ἀσχημονεῖ.

Ἄρυσμίη: ἀκοσμία.
Ἑτερόρρυσμα: ἀνόμοια.
Μετερρυθμωμένα: μετεσχηματισμένα.
Ἀμειψιρυσμεῖν: ἀλλάσσειν τὴν σύγκρισιν ἢ μεταμορ-
(φοῦσθαι.

Φανερὰ ταῦτα πάντα καὶ σαφῆ. τὸ γὰρ ῥυσμοῦσθαι τὸ συγκρίνεσθαι ἐκ τῶν Δημοκριτείων ἀτόμων οὐδὲν ἄλλο ἐστὶν ἢ τύπον τινὰ καὶ σχῆμα λαβεῖν, οὗ χρῆσις ἐν τῷ Στοβαίου Ἀνθολογίῳ Δ. 73: »Δημοκρίτου. Ἀνοήμονες ῥυσμοῦνται τοῖς τῆς τύχης κέρδεσι.« Ἄριστα γὰρ οὕτω διώρθωσεν ὁ Σχαλίφερος τὸ ἐν τοῖς ἀντιγράφοις ῥυθμοῦνται. Εὐεπίφοροι γὰρ οἱ ἀντιγραφεῖς ἐπὶ τὰ γνώριμα. Διόρθωσον δέ μοι καὶ τὸ τοῦ Ἡσυχίου »Μετερρυθμωμένα: μετεσχηματισμένα.« Δῆλον γὰρ ὅτι γραπτέον καὶ νῦν Μετερρυσμωμένα. τὸ γὰρ μετασχηματίζειν, μετατυποῦν, μεταμορφοῦν, μεταπλάττειν καλεῖται ὑπὸ τοῦ Δημοκρίτου μεταρρυσμοῦν, καὶ ἤδη ἔχομεν ταλῆθές. Γραπτέον γάρ: »ἡ διδαχὴ μεταρρυσμοῖ τὸν ἄνθρωπον, μεταρρυσμοῦσα δὲ Φύσιν ποιέει.« Ὁμογνωμονοῦντά μοι ὁρῶ τὸν Μυλλάχιον τὸν τὰ τοῦ Δημοκρίτου ἀποσπασμάτια ἀναλέξαντα σελ. 293. πλὴν ὅτι τὸ Φυσιοποιεῖ ἐτήρησεν· ἔτι δὲ τὸ Φυσιοποιεῖν ῥῆμα τερατῶδες καὶ οὐ μόνον τοῦ Δημοκρίτου ἀλλὰ καὶ τοῦ Κλήμεντος ἀνάξιον.

Φέρε δὴ τελευτῶντες τοῖς τοῦ Δημοκρίτου ἕν γέ τι Ἡρακλείτειον ἐπαγάγωμεν. Γράφει ὁ Κλήμης σελ. 682: »αἱ γοῦν Ἰάδες Μοῦσαι διαρρήδην λέγουσι τοὺς μὲν πολλοὺς καὶ δοκησισόφους δήμων ἀοιδοῖσιν ἕπεσθαι καὶ νόμοισι χρέεσθαι εἰδότας ὅτι πολλοὶ κακοὶ ὀλίγοι δὲ ἀγαθοί· τοὺς ἀρίστους δὲ τὸ κλέος μεταδιώκειν· αἱρεῦνται γὰρ (φησὶν) ἐναντία πάντων οἱ ἄριστοι κλέος ἀέννηον θνητῶν, οἱ δὲ πολλοὶ κεκόρηνται ὅπως κτήνεα γαστρὶ καὶ αἰδοίοις καὶ τοῖς αἰσχίστοις τῶν ἐν ἡμῖν μετρήσαντες τὴν εὐδαιμονίαν.« Ἐν τούτοις οἱ ἀντιγραφεῖς ἄλλα τέ τινα ἔπταισαν καὶ τὸ σύνηθες αὐτοῖς πταῖσμα ἐν τῷ ἐναντία πάντων. Γράφεται γὰρ ἐν τῷ Κορινθιακῷ λόγῳ τῷ ἐν μὲν τοῖς τοῦ Χρυσοστόμου Δίωνος περιφερομένῳ, γεγραμμένῳ δὲ ὑπ' ἀνδρὸς τότε μὲν ἐπιφανοῦς νῦν δὲ πάντων ἀφανεστάτου, σελ. 462 Mor. (Τόμ. Β. σελ. 328 Ἐμπερ.) »ἵν' αὐτῷ περιῇ ἐναντίον πάντων Ἕλλησι δοκεῖν τε καὶ εἶναι.« Ἐξεῦρε δὲ ταλῆθὲς ὁ Οὐαλέσιος ἀγχίνους ἀνὴρ ἐν τοῖς μάλιστα: »ἓν ἀντὶ πάντων.« Ὡσαύτως δὲ καὶ νῦν ἡ παλαιὰ γραφὴ ΘΝΑΝΤΙΠΑΝΤΩΝ τὸν ἀντιγραφέα ἔσφηλεν, ἐνόμισε γὰρ ὁρᾶν

»ἐναντία πάντων," τὸ δ' ἦν ἄρα: »αἱροῦνται γὰρ ἓν ἀντὶ πάντων οἱ ἄριστοι κλέος ἀέναον." Ὅπως δέ μοι μηδεὶς ἀντερεῖ, τοιοῦτος γὰρ ἕφεδρός μοι ἕτοιμος σελ. 586 αὐτὸς ὁ Ἡράκλειτος: »καὶντεῦθεν Ἡράκλειτος ἓν ἀντὶ πάντων κλέος ἡρεῖτο, τοῖς δὲ πολλοῖς παραχωρεῖν ὁμολογεῖ καὶ κορῆσθαι οὐχ ὥσπερ κτήνεσι." Καὶ τυφλῷ δῆλον ὅτι δεῖ γράφειν: »παραχωρεῖν ὁμολογεῖ κεκορῆσθαι ὅκωσπερ κτήνεσι." Οὐ ξυνῆκέ τις τῶν ἀμαθεσέρων ὅ, τι ποτὲ εἴη τὸ ΟΚΩΣΠΕΡ, εἶτα μετέγραψεν οὐχ ὥσπερ. Εἶτά μοι τὸ ἄρθρον ἐξάλειφε ἐκ τοῦ »θνητῶν [οἱ] δὲ πολλοί" τὸ δὲ ὅλον οὕτως ἀνάγνωθι: »αἱρεῦνται γὰρ ἓν ἀντὶ πάντων οἱ ἄριστοι κλέος ἀέναον, θνητῶν δὲ πολλοὶ κεκορέαται ὅκωσπερ κτήνεα." Τὰ δὲ τελευταῖα οὐκ Ἰάδες Μοῦσαι ἀλλ' Ἀτθίδες τινὲς ἡμῖν ἄδουσι. Τίς γὰρ Ἀθηναῖος ὢν ἢ Φιλαθήναιος οὐκ ἐπίσταται ἀπὸ σόματος τάδε: »τὴν ἐλευθερίαν προπεπωκότες πρότερον μὲν Φιλίππῳ νῦν δ' Ἀλεξάνδρῳ, τῇ γαστρὶ μετροῦντες καὶ τοῖς αἰσχίστοις τὴν εὐδαιμονίαν."

Πόσῳ δὲ κρεῖττον καὶ σεμνότερον ὁ ῥήτωρ τοσοῦτον μόνον εἶπε »καὶ τοῖς αἰσχίστοις," τὴν τοῦ πράγματος αἰσχύνην εὐφήμως ἐπισκιάζων.

Καὶ ταῦτα μὲν δὴ ταῦτα. νῦν δὲ σοί, ὦ φίλτατε Κόντος, παραχωρῶ τοῦ λόγου.

Leyden, 18 *April* 1867. C. G. COBET.

ΕΙΣ ΔΙΩΝΑ ΤΟΝ ΧΡΥΣΟΣΤΟΜΟΝ.

Τῆς σελίδος τὸ λοιπὸν ἀναπληρώσων διορθώσω σοι τὸ παρὰ τῷ Χρυσοστόμῳ Δίωνι ἐσφαλμένον (ΑΕ. σελ. 433 Μορ.): »ἡμεῖς δὲ τὴν μὲν κόμην ἀφαιροῦμεν — τὰς δὲ κεφαλὰς σκέπομεν· τοὺς δ' ἀλεκτρυόνας ὁρῶμεν οὐδενὸς τοιούτου προσδεομένους ὧν ἄνθρωποι σισύρας καὶ πίλους καὶ τοιαῦθ' ἕτερα συρράπτοντες." Εἶδές ποτέ τινα ἢ ἤκουσας ὅστις σισύρᾳ ἔσκεπε τὴν κεφαλήν; Οὐκ οἶμαι. Τί οὖν; Ἐγένετο τὸ σισύρας ἐκ τοῦ ΙΣΥΝΑΣ. Τί δὲ τοῦτο τὸ ΙCΤΝΑC; Οὐδὲν ἄλλο ἢ κυνᾶς. εὖ γάρ: »κυνᾶς καὶ πίλους συρράπτοντες."

C. G. C.